ΓΝΩΜΑΙ

SIVE

THESAURUS

SENTENTIARUM ET APOPHTHEGMATUM

EX

SCRIPTORIBUS GRAECIS PRAECIPUE POETIS.

COLLEGIT, DISPOSUIT ET EDIDIT

G. H. OPSIMATHES.

Quis reprehendet nostrum otium, qui in eo non modo nosmet ipsos hebescere et languere nolumus, sed etiam ut plurimis prosimus enitimur?

(Cicero)

LIPSIAE.

IN AEDIBUS T. O. WEIGELII.

MDCCCLXXXIV.

Typis descripsit Adolphus Holzhausen in Vienna.

PRAEFATIO

DE LIBRI ORIGINE, PROPRIETATE, FINE, USU.

Libri auctor vel potius compilator, qui vitam et operam longe aliis propositis impendit, quique, ut nomine, quod assumpsit, innuit, nonnisi aetate iam provectus Graecorum σοφίαν λόγου addidicit, ita ut cum Cicerone dicere possit: „ego sero graecas litteras attigi", otii intervallis Graecorum tragicos, comicos, alios poëtas legere consueverat. Qua in occupatione omnia memoratu digna proprio usui exscribere solebat. Postero autem tempore intellexit, inutilia fore, quae exscripsit, nisi eorum indicem composuerit. Excerpta igitur talem in modum digessit, ut, quae iis insunt cognita principalia latinis vocabulis concepta, in ordinem alphabeticum redigeret. Quo in labore nonnulli amici docti eum deprehendentes monuerunt atque aptarunt, ut in publicum ederet, quae sibi tantum destinaverat; diuque cunctatus et operis imperfecti sibi conscius, nunc demum quod rogarunt facere constituit.

Iam pridem vero multa huiusmodi florilegia et graecarum sententiarum syllogae editae sunt, ex quibus nonnullas tantum, ut Ioh. Stobaei, Michaelis Neandri et Erasmi Chiliades memorare libet.

Quorum primus et copiosorem quidem brevium sententiarum ex poëtis aliisque scriptoribus delectum, quibus et nos usi sumus, et integra capita pedestris orationis auctorum, sed ad allegandum minus idonea, publici iuris fecit; quum tamen dicta sententiis apta, quamquam virtutes, vitia vitaeque rationem non tractantia, et quorum apud graecos imprimis poëtas multa reperiuntur, paene neglexerit.

Noster autem liber etsi non unice, praesertim tamen eo spectat, ut quam plurimas poëtarum γνώμας easque, paucis exceptis, forma quam brevissima, quinorum versuum numerum non excedente, congestas praebet.

Quod Erasmum attinet, eius Chiliades nonnisi brevia et quasi decantata adagia continent, prout latine vel graece certis temporibus in omnium ore versabantur, quae doctissimis et ingeniosissimis animadversionibus, longas paginarum series implentibus, instruxit. Quorum plurima in nostro quoque libro invenientur, quamquam nonnisi exiguam huius collectionis partem exhibent, ea praecipue poëtarum respicientis, quae omnes fortunae vices vel sensu proprio, vel oblique per allusionem illustrant.

Stobaei vero atque Erasmi excerpta non in iis solum, quae continent, sed in modo etiam, quo singula in ordinem redacta sunt, ab hoc opere valde discrepant. Quippe Stobaeus indicem centum ac viginti sex vocabulorum composuit, ex virtutum, vitiorum, rerum in vitae usu obvenientium denominationibus constantem, dum noster exigui glossarii praecipuas voces complectitur. Erasmus autem Adagia in latinum sermonem versa secundum saecula, quibus usitatissima erant, distribuit; et quamquam indicem ordine alphabetico reddidit, nihilominus lectori aliquantum difficultatis erit, locum aliquem celeriter invenire cupienti. Quod cuique manifestum est, si eius methodus cum nostra conferatur.

Hanc autem anthologiam poëtarum limina vix egressam esse facile comprobatum erit reputanti, ex hisce solis non minus quinque fere milia locorum communium descripta esse, adhibitisque aliis auctoribus, qui prosaica oratione usi sunt, futurum fuisse, ut immensa farrago tanquam rudis indigestaque moles libri finem commodumqe usum omnino impediverit.

Quod his non obstantibus pauca philosophorum, oratorum, aliorum scriptorum, quae iam in proverbia abierunt, inseruimus, nemo est, ut speramus, qui aegre ferat.

Quod libri finem, auctor eum enchiridion esse voluit, quo viri docti vel litterarum studiosi omnia, quae cuicunque rei proverbiorum, sententiarum vel locorum communum instar inservire possunt, sine mora et temporis detrimento in graecis auctoribus inveniant. Qua de causa θέματα quae vocant sermone latino alphabetica serie ordinata sunt, sed et textus graecos eundem in modum dispertiti sumus, quod maxime usui erit, ubi lectorem ad alia themata mandamus.

Denique, ne eorundem in infinitum repetitione lectori taedium oboriatur, cuiuscunque loci sensus tantum primarius vocabulo latino inter themata expressus est. Quodsi versus praeter hunc aliam adhuc sententiam involvant, ad quam animum advertere forsitan operae pretium sit, tum in fine versiculorum, vocabulo eam sententiam designate latino, textus vero initio graece adscripto, lectorem ad thema primarium redegamus. Ex. gr. locum:

„Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς“
„χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται.“

invenias sub. v. „Gratia“, sed etiam s. v. „Mors“ formula vide: „Gratia, Φεῦ τοῦ,“ ad hoc thema primarium mitteris.

Quod superest, aliqua iam libri parte impressa, ubertas materiae ad coarctandum paene infinitum dictorum et versuum

numerum coëgit ex quibus ea tantum selegimus, quae proprie gnomarum loco haberi possunt. Quam restrictionem, etsi operis unitati obsit, utilitatem tamen eius non tollere censemus, quin potius quidam loci, primis paginis citati, quamquam sententiarum qualitate carentes, nonnullis non sine usu fuerint. Etiam errata compluria, praesertim initio laboris typographici passim irrepserunt, sed neque tam multa, neque graviora, quae in fine libri correcta invenies.

Si quid praeterea vero, vel titulorum vel materiam delectu, vel distinctione et ordine minus convenienter a nobis pertractatum deprehenderis, mi lector; ipse homo quum sis, conditionis humanae memor esto, veniamque erratis facilem tribue.

Speramus tamen adulescentibus studiosis aliisque ita labore nostro satisfactum iri, ut si non magni ingenii et exquisitae diligentiae laudem, (quam quidem nec meremur nec affectamus) illi nobis velint tribuere: at studii tamen, et promptae erga bonas literas voluntatis testimonium non prorsus sint denegaturi. Id enim spectavimus solum, ut publicam adiuvantes utilitatem, studia nostra, quantulaque tandem illa sint, tibi, benevole lector, bonisque comprobaremus.

Vale, et si meremur, fave!

AUCTORES

e quorum libris sententiae nostrae collectionis sumptae sunt.

Homeri Ilias et Odyssea, Rec. Dindorfi, Lipsiae, Teubner, 1875.
Poëtae Scenici Graeci, Rec. Dind. Lips. et Lond. 1830.
Tragoediae Euripidis, Ed. Stiblini, Basilea, 1558.
Tragoediae Sophoclis, Rec. Dind. Lipsiae, Teubner, 1840.
Theognis Elegiae, Ed. Ziegler, Tübingen, 1868.
Pindari et Anacreontis Carmina, Ed. Stereotyp. Tauchnitz.
Callimachi Carmina et Epigrammata, Ed. Sterotyp. Tauchnitz.
Orphica, Ed. Tauchnitz.
Solonis Carmina, Ed. Nicol. Bachii.
Theocriti Carmina, Lipsiae, 1804.
Hesiodi Carmina.

COLLECTANEA ET EXCERPTA.

Fragmenta Comicorum Graecorum, A. Meineke, Berol. 1839—1841.
Menandri et Philemonis Reliquiae cum notis H. Grotii et Clerici, Amstelodami, 1709.
Emendationes in eodem libro a Phileleuthero Lipsiensi.
Anthologia Graeca, Ed. Tauchnitz Stereotyp. 1819.
Stob. Florilegium, Ed. Tauchnitz Stereotyp. 1838.
Stob. Eclog. Ed. Heeren. Göttingen, 1792.
Stob. Eclog. Ed. Meineke, Lipsiae, 1840.
Athenaeus Deipnosophista, Ed. Tauchnitz, Lipsiae, 1834.
Clementis Alexandrini Opera, Ed. Tauchnitz, Lipsiae, 1831—1834.
Chiliades sive Adagia Erasmi Roterdami, Basilea, 1820.

Collectanea I. Schroederi, Marburg, 1733.
Schneidewin, Delectus Poëtarum Elegiacorum et Iambicorum, Göttingen, 1838.
Opuscula Graecorum Veterum, sententiosa et moralia. Conr. Orelli Lips. 1821.

SCRIPTORES PROSAICI

e quibus nonnullae sunt sumptae sententiae.

Isocrates, Demosthenes, Marcus Antoninus (quod sibi ipsi scripsit, Ed. Gattackeri, Cantab. 1652), Epicteti Manuale.

ABBREVIATURAE.

A. (Aeschylus) **E.** (Euripides) **S.** (Sophocles) **Ar.** (Aristophanes) **Fr.** (Fragmenta) **Men.** (Menander) **Philem.** (Philemon) **Hom.** (Homerus) **Hes.** (Hesiodus) Op. (Opera et Dies) **Stob.** (Stobaei Florilegium) **M. Flor.** (Manuscriptum Florentinum) **Stob. Ecl.** (Stobaei Eclogae) **Cl.** (Clericus) **Anacr.** (Anacreon) **Athen.** (Athenaeus) **Cl. Al.** (Clemens Alexandrinus) **Anth.** (Anthologia Graeca) **Chil.** (Erasmi Chiliades) **Comp.** (Comparatio Menandri et Philemonis) **Theocr.** (Theocritus) **Phocyl. Adm.** (Phocylidis Poema Admonitorium sive Pseudo-Phocylides) **Pyth. S. Aur.** (Sententiae Aureae Pythagorae) **Dem. S. Aur.** (Sententiae Aureae Democriti) **Or.** (Orelli) **Demoph.** (Demophili Collectanea) **Pind.** (Pindar) Nem. (Nemea) Pyth. (Pythia) Olymp. (Olympia) Isthm. (Isthmia) **Callim.** (Callimachus).

— Hoc signo denotatur, duarum vocum comparatio vel oppositio.

Absentia (cf. Praesentia).

— Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς.

(A. Fr. 271.)

— Οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν
φίλτερον ἡγεῖ.

(E. Hipp. 185 sq.)

Οὐ ταυτὸν εἶδος φαίνεται τῶν πραγμάτων
πρόσωθεν ὄντων ἐγγύθεν θ' ὁρωμένων.

(E. Ion, 585 sq.)

Vide: *Amicus:* Οὐ ταυτὸν, Τῶν γὰρ, Τῶν ἀπόντων. — *Gratia:* Ἀπόντι. — *Ignavia:* Δειλοὶ. — *Labor:* Φύσει.

Abstinentia, v. Temperantia, Frugalitas (cf. Sufficientia).

Abundantia, Copia v. Satietas (cf. Superabundantia).

Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.

(Phocyl. Adm. 55.)

Vide: *Amor:* Ἐν πλησμονῇ. — *Modus:* Ἀλλ' ἔγωγε.

Abusus, v. Usus.

Acceptio (cf. Donum, Lucrum).

— Λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι (οἱ κατὰ χθονὸς θεοί).

(A. Pers. 690.)

Πόλλ' ἂν σὺ λέξας, οὐδὲν ἂν πλέον λάβοις.

(E. Alcest. 72.)

Χρέος μὲν οὐδὲν, βούλομαι δ' ὅμως λαβεῖν.

(Ar. Achar. 455.)

Accomodatio, v. Similitudo.

Accumulatio (cf. Prodigalitas).

— Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ,
ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον.

(Diphil. 19, Meineke, v. IV, p. 422.)

Accusatio, Accusator (cf. Calumnia, Culpa, Sycophantia).

Vide: *Ipse:* Ὅταν τί. — *Silentium:* Τί σίγ'. — *Iudicium:* Κατηγορεῖν.

Acerbitas, v. Duritas.

Acquisitio (cf. Divitiae, Lucrum).

Actio (cf. Factum), *Acta.

* Ἀνδριάντα μὲν σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.
(Pyth. Demoph. Orelli I, 28.)

* Οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
(S. Antigone, 729.)

Acumen, Acutus.

Εὐτομώτερος σκάφης.
(Men. Zenob. Cent. V. Prov. 95.)

Ὀξύτερον τοῦ Λυγκέως.
(Plut. 210.)

Ταχὺ ἀμβλύνεται τὸ ὀξύ.
(Aristot.)

Adagium.

Πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ.
(E. Phoen. 438.)

Adiutorium, v. Auxilium.

Adulescentia v. Iuventus (cf. Senectus).

Ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν κατάλληλος.
(Cratinus ap. Stob. LII, 11.)

Ἡμεῖς δέ, τοὺς νέους γὰρ οὐ μιμητέον.
(E. Hippolit. 114.)

Κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
(E. Andromache, 184.)

Παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.
(E. Fr. Mel. Vinct. 22.)

Τὰ γὰρ τῶν νέων ἤθη πολλὰς μεταβολὰς
ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκε.
(Plato, Leg. XI.)

Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων· ἀστόχαστος γὰρ ἡλικία καὶ πολλὰς ἔχουσα μεταβολάς, ἄλλοτε ἐπ' ἄλλο φερομένη.
(Theophrast. Stob. LII, 15.)

. . . . χρὴ δὲ συγγνώμην ἔχειν,
εἴ τίς σ', ὑφ' ἥβης σπλάγχνον ἔντονον φέρων,
μάταια βάζει· μὴ δόκει τούτων κλύειν.

(E. Hippol. 117 sqq.)

Adversitas, v. Miseria, Aerumnae; *Adversarius.

*Vide: *Ambo:* Μήτε, Πρὸς τῶν, Σοφόν τι. — *Iudicium:* Τὶς ἄν.

Adulatio, Blanditio, Laudatio, Amicitia (cf. Parasitus).

Ἔλεγχε σαυτὸν ὅστις εἶ, μὴ πρὸς χάριν
ἄκου', ἀφαιροῦ δὲ κολάκων παῤῥησίαν.

(Zeno, Stob. XIV, 4.)

Ἔστι δὲ οὐκ ἀξιόπιστος ἔπαινος, ὃν ἐπαινεῖ τις ἕτερον διὰ τὸ ἑαυτοῦ συμφέρον.

(Phavorinus, Stob. XIV. 11.)

Εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι, καλὸν· τὸ γὰρ ἐπὶ φλαύροισι, κίβδηλον, καὶ ἀπατεῶνος ἔργον.

(Democrit. Stob. XIV, 8.)

Κρεῖσσόν ἐστιν εἰς κόρακας ἐμπεσεῖν ἢ ἐς
κόλακας.

(Diog. Laërt.)

Οἱ κόλακές εἰσι τῶν ἐχόντων οὐσίας σκώληκες.

(Anaxilas, ap. Athen. VI. 65.)

Ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν
πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν
ἔχθραν καθίστησ' εἰς τὸν ὕστερον χρόνον.

(Critias, Stob. XIV, 2.)

— Οὔτε τῇ γαμετῇ πρέπον τὴν ἑταίραν οὔτε τῇ φιλίᾳ
τὴν κολακείαν προτιμᾶσθαι.

(Pythag. Demophil. X, Or. 1.)

Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ καταναλίσκεται· ὁ δὲ πλοῦτος ἐκτρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται.

(Aristonym. Stob. XIV, 9.)

Τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμὲ
προσηγόρευον· οὐδὲ εἷς νῦν μοι λαλεῖ.

(Posidip. Stob. XIV. 1.)

Τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν ὄνομ' ἔχει.

(Anaxand. Ath. VI, 255, Meineke, v. III, p. 191.)

Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.

(Bias.)

Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον ἢ τοῖς κολακεύουσιν·
ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας.

(Pythag. Stob. XIV. 18.)

Aegritudo, v. Morbus.

Aemulatio, v. Invidia.

Aenigma, * Aenigmaticus.

Αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.

(A. Suppl. 464.)

Λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ.

(A. Prom. Vinct. 609 sq.)

Οὔπω συνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

(A. Agam. 1112 sq.)

Ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.

(S. Oed. R. 439.)

Aequalitas, Aequitas (cf. Modus).

. . . κεῖνο κάλλιον, τέκνον,
ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι, ξυμμάχους τε ξυμμάχοις,
ξυνδεῖ· τὸ γὰρ ἴσον νόμιμον τοῖς ἀνθρώποις ἔφυ.

(E. Phoen. 535 sqq.)

Vide: *Bonum:* Ἀλλ' οὐχ. — *Consensus:* Εἰ πᾶσι. — *Hospitalitas:* Οὔτι.

Aerumnae, Adversitas, v. Labor, Dolor, Calamitas, Miseria, Cura, Malum.

Οὐ τοῖς πλέουσι τὴν θάλατταν γίγνεται
μόνοισι χειμὼν, ὡς ἔοικεν, ἀλλὰ καὶ
τοῖς περιπατοῦσί που, Λάχης, ἐν τῇ στοᾷ,
καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις.
χοὶ μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν,
ἢ νύκτα χειμασθέντες, εἶτ' ἐκ τοῦ κακοῦ
σωτηρίας ἐπέτυχον· ἢ τὸ πνεῦμα γὰρ
αὐτοὺς τὸ σῷζον ἧκεν, ἢ 'φάνη λιμήν;
ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ ἐς ἡμέραν
χειμάζομαι μίαν γὰρ, εἰς τὸ ζῆν δ' ὅλον
ἀεὶ τὸ λυπεῖσθαι δὲ μεῖζον γίγνεται.

(Phil. Meineke, v. IV, p. 10.)

Vide: *Homo:* Πολλοῖς. — *Spes:* Φαμὶ γάρ.

Aes, Aes alienum (cf. Mutuum).

Εὐδαίμων μὲν πρῶτον ὁ μηδενὶ μηδὲν ὀφειλῶν.

(Automedon, Brunck.)

Aestas.

Ἡ μὲν χελιδὼν αὐτὸ θέρος, ὦ γύναι, λαλεῖ.

(Philem. Sch. ad Aves, 39.)

. . . νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.

(S. Aias, 670 sq.)

Aestimatio, v. Existimatio, Auctoritas.

Aetas, v. Aevum, Vita, Juventus.

Aeternitas.

Vide: *Mors:* Φαύλῳ.

Aevum, v. Vita.

Affabilitas.

Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;
Πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.

(E. Hipp. 95 sq.)

Affectus, v. Passio.

Afflictio (cf. Dolor).

Vide: *Educatio:* Ἐν μὲν πάθεσιν, Παθήματα.

Ager (cf. Rus, Terra), *Agricola (cf. Rusticus).

*Ἀεὶ γεωργὸς ἐς νέωτα πλούσιος.

(Philem. Supposit. Stob. 57, 8. Cl. 334.)

Ἆρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός.

(Men. Ploc. Cl. 156.)

Δικαιότατον κτῆμ' ἐστιν ἀνθρώποις ἀγρός.
ὧν ἡ φύσις γὰρ δεῖται ἐπιμελῶς φέρει κ. τ. λ.

(Phil. Cl. 348.)

Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος
ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.

(Men. Cl. 294.)

Χρῄζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ.
Ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

(Phocyl. Stob. LVI, 6.)

Vide: *Alius:* Ἀλλοτρίαν. — *Rus:* Δικαιότατον.

Aggressus, Aggredi, v. Initium, Gradus.

Vide: *Primus:* Οὐχ οἶδα. — *Tarde:* Βραδέως.

Agitatio, v. Concitatio, Turbatio.

Ala (cf. Penna), Alatus, v. Velox.

Vide: *Pullus:* Νεοσσὸς, Οὗς ὑπό.

Alacritas (cf. Promptitudo).

Εἴθ' ἦσθα δυνατὸς δρᾶν, ὅσον πρόθυμος εἶ. (E. Heraclid. 731.)

Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας. (E. Orest. 708.)

Οὐκ ἂν δυναίμην· τὸ δὲ πρόθυμον ᾔνεσα. (E. Iphig. T. 1023.)

. . . περαίνει δ' οὐδὲν ἡ προθυμία. (E. Phoen. 589.)

Πρόθυμός ἐστιν· ἡ προθυμία δ' ἄφρων. (E. Hercul. Fur. 310.)

. . . πρόθυμος μᾶλλον ἢ σοφωτέρα. (E. Medea, 485.)

Τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ,
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. (A. Prom. vinct. 340 sq.)

Alea, Aleator.

Ἀνερρίφθω ὁ κύβος. (Caesar, op. Suet.)

Δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος. (Men. Minerv. Meinecke, v. III, p. 88.)

Vide: *Sors:* Στέργειν.

Alius, *Alienus (cf. Hospes), **Aliter.
— Alius — Alius, **—** Alius — Ipse (cf. Ipse).

— Ἀγαθοὶ δὲ τὸ κακόν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν.
αὐτοὶ δ' ὅτ' ἂν ποιῶμεν, οὐ γινώσκομεν. (Sosicrates, St. 23, 2.)

— Αἰσχρὸν τὰ ὀθνεῖα πολυπραγμονεύοντα, ἀγνοεῖν τὰ οἰκεῖα. (Democr. Sent. Aur. 45. Or. 1.)

— Ἄλλα δ' ἐξ ἄλλων κυρεῖ. (E. Iphig. T. 865.)

— Ἀλλ' ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ. (E. Fr. incert. 78.)

— Ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις. (E. Fr. Oeneus, VIII.)

— Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.
(Archiloch. Cl. Al. Strom. VI, c. XI, 789.)

— Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.
(Theognis, 167. 57.)

— Ἄλλα μὲν λευκῶν, ἄλλα δὲ λευκῶνος ὄνος φέρει.
(Prov.)

— Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγξεται.
(Prov.)

— Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δ' ἀμήσονται.
(Prov.)

(cf. Ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θηρίζων.)
(Ev. Joh. IV, 37.)

— Ἄλλον ἄλλῃ πρὸς πόλει τεταγμένον.
(A. Fr. 306.)

— Ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι
νείκεον.
(Hom. Il. XII, 267.)

— Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
(Hom. Od. XIV, 228.)

Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
(Hes. Op. 822.)

— Ἄλλος κατ' ἄλλην δαιμονίζεται τύχην.
(Phil. incert. Cl. 328, Stob. X.)

— Ἄλλος μένει δ' ἐπ' ἄλλῳ μόχθος ἄθλιος.
(Lycophron. 666.)

* Ἀλλότριον ἀμᾶς θέρος.
(Prov.)

Ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας.
(E. Rhesus, 106 sq.)

Ἄλλου δ' ἄλλον ἔθηκε θεὸς γ' ἐπιδευέα φωτῶν·
(Theocr. XXV [XXIX], 50.)

— Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν. τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι.
(Hom. Od. XIII, 730 sqq.)

— Ἄλλων ἰατρός, αὐτὸς ἕλκεσιν βρύων.
(E. Fr. incert. 149.)

— Ἂν πολλὰ βάλλῃς, ἄλλον ἄλλοισιν βαλεῖς.
(Aristoteles.)

— Ἀπὸ γὰρ τῆς αὐτῆς διανοίας οἱ ἄνθρωποι ἀπογιγνώσκουσί τε ἑαυτῶν καὶ ἑτέροις ἀπιστοῦσιν.
(Dion. Hal. Stob. 2, 88.)

— Αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεται ἢ δόμεν ἄλλῳ.
(Hom. Od. XVII, 404.)

* Ἀχθεινὰ μέν μοι τ' ἀλλοτρίων κρίνειν κακά·
ὅμως δ' ἀνάγκη.
(E. Hecab. 1240 sq.)

* Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
(Monost. Gesner. Stob. 3. 25.)

— Ἐγὼ δ' ἐπ' ἄλλας μηχανάς τινας,
φίλους τ' ἐπ' ἄλλους.
(E. Iphig. A. 414 sq.)

— Εἰς σκῶλον μήτ' αὐτοὶ ἴμεν, μήτ' ἄλλῳ ἕπεσθαι.
(Prov.)

* . . . ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι.
(Hom. Od. XVII. 451 sq.)

— Ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ.
(E. Hecab. 689.)

— Ἕτερα δ' ἕτερος ἀμείβεται
πήματ' ἐν χρόνῳ μακρῷ.
(E. Orest. 979 sq.)

— . . . ἕτερα δ' ἕτερος ἕτερον
ὄλβῳ καὶ δυνάμει παρῆλθεν.
(E. Bacch. 905 sq.)

— Ἕτερόν ἐστι, (ὦ βασιλεῦ), σκῆπτρον, ἕτερον δὲ πλῆκτρον.
(Straton. ad Ptolemeum.)

— Ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως.
(Phil. Sicil. Meinecke, v. IV. p. 24; Cl. 330.)

* Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
(Monost. Gesner. Gnomol. Stob. 1. 10.)

— Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει.
(Hom. Il. IX. 312 sq.)

— Ἦν ἄρα τρανὸς αἶνος ἀνθρώπων ὅδε
ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος
αὐτὸν δ' ἐνεγκεῖν ὕβριν ἠδικημένον
πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος.
(Moschion. Stob. 114. 9.)

— Κρέσσον τὰ οἰκεῖα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα.
(Democr. Sent. Aur. 25. Or. 1.)

— Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο τοιαῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις, ἢν πράττωσι, ἐπιτιμῴης.
(Isocr. Dem. 5.)

— . . . μῦθος δ' οὐκ ἐμός, ἀλλ' ἑτέρων.
(Callimach. in Pall. 56.)

— Ὁ γὰρ ἀδίκως τι καθ' ἑτέρου ζητῶν κακὸν
αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.
(Men. Incert. Cl. 274.)

— Οἷ' αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.
(Hes. Op. 263.)

— Ὅσα νεμεσᾷς τῷ πλησίον, αὐτὸς μὴ ποίει.
(Thales.)

— Ὅς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλον ἀκούων
ἐν θυμῷ βάλληται· (ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ).
(Hes. Op. 294 sq.)

— Ὅς τ' ἄλλῳ κακὰ τεύχει ἑῷ κακὸν ἥπατι τεύχει.

— Ὅστις τοὶ δοκέει τὸν πλησίον ἴδμεναι οὐδὲν
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλημμένος ἐσθλοῦ.

(Theognis, 221.)

* Οὐ δεῖ τὸν ξένον ξένον ἀεὶ εἶναι.

(Antisthenes.)

— . . . οὐ λέγοντες ἄλλα μὲν
γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί.

(E. Androm. 451 sqq.)

. . . παρὰ δ' ἄλλαν ἄλλα
μοῖρα διώκει.

(E. Heraclid. 611.)

Πρὸς τοῖς κακοῖς οὗτος ἕτερα συλλέγει κακά.

(Philem. Stob. 108, 33, Cl. 356.)

Πρὸς τοῖς παροῦσι ἄλλα προσλαβεῖν θέλεις.

(Prom. Vinct. 326.)

** Σκέψαι δὲ χἀτέραν ἔτι γνώμην.

(Ar. Nubes, 1440.)

— Σπεύδει δ' ἄλλοθεν ἄλλος,

(Solon, IV, 43.)

— Τάδ' οὐχ' ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν
πτεροῖς ἁλισκόμεσθα·

(A. Fr. 123.)

— . . . τέχναι δ' ἑτέρων ἕτεραι.

(Pind. Nem. 1, 37.)

— Τί τ' ἀλλότριον, ἄνθρωπε βασκανώτατε, κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;

(Meinecke, Fr. incert. 291, v. IV. p. 671; Plutarch.)

—. . . τοῖς μέν εἰμ' ἐπίφθονος,
τοῖς αὖ προσάντης.

(E. Medea, 305 sq.)

— Τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.

(A. Agam. 836 sq.)

—. . . τὸν τῇ φύσει
οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.

(E. Fr. incert. 178.)

— Τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσεν.

(Hom. Od. XVI, 250.)

. . . Χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.

(Theocrit. XXV [XXIX], 67.)

— Χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δέ σοι αὐτῷ.

(Hom. Il. XXIII, 342.)

Χὼ Ζεῦς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

(Theocrit. IV [IX], 43.)

Ὧι μέν κἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος.

(Hom. Il. XXIV, 530 sq.)

Ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι.

(Stob. 114. 4.)

Vide: *Amicitia:* Τοιοῦτος. — *Arrogantia:* Μὴ νῦν. — *Astutia:* Εὗρε δέ. — *Avaritia:* Πλεονεξία. — *Consilium:* Ὑπερ. — *Divitiae:* Χρήματα. — *Duo:* Δυοῖν. — *Hortatio:* Ἄλλῳ. — *Imperium:* Ἄρχε. — *Liber:* Ἄμεινον. — *Malum:* Ἡμεῖς δέ. — *Mater:* Ἄλλοτε. — *Morbus:* Ἀλλ᾽. — *Omnis:* Ἀλλ᾽ οὕτως. — *Oratio:* Ἄλλος μέν. — *Sapientia:* Ἤ που. *Paupertas:* Μήποτε. — *Sors:* Συμφορά — *Tempus:* Καιρός. — *Venter:* Ἀλλότριον. — *Verbum:* Ἀλλ᾽ ἐκ.

Allevatio, v. Levatio.

Allocutio, v. Locutio.

Amaritudo (cf. Jucunditas, Suavitas, Dulcitudo).

Πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν.

(S. Fr. 733.)

. . . πικρὸν δὲ χ᾽ ἡδύ τ᾽ ἀγώνισμά σοι.

(E. Electra. 987.)

— Τοῖς μὲν γὰρ ἤδη, τοῖς δ᾽ ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται, καὖθις φίλα.

(S. Oed. Col. 614 sq.)

Ambitio (cf. Gloria, Celebritas, Honor).

. . . ζηλῶ σε γέρον,
ζηλῶ δ᾽ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ᾽, ἀγνὼς ἀκλεής·
τοὺς δ᾽ἐν τιμαῖς ἧσσον ζηλῶ.

(E. Iphig. A. 17 sqq.)

Ἡ φιλοτιμία κτῆμα σκαιόν.

(Herod. 111.)

Τό τε φιλότιμον
γλυκὺ μέν, λυπεῖ δὲ προσιστάμενον. κ. τ. λ.

(E. Iphig. A. 23 sqq.)

Φιλοτιμίᾳ μὲν ἐνέχεται, δεινῷ κακῷ.

(E. Iphig. A. 527.)

Amentia (cf. Dementia, *Stultitia).

Amicitia, Amicus (cf. Socius, Hostis).

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.

(Men. monost. 9, Meinecke, v. IV, p. 43.)

— Ἀλλήλοις ὁμιλεῖν ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ᾽ ἐχθροὺς φίλους.

(Pythag. Diog. Laërt. 43. Or. I, 50.)

. . . ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.

(Hom. Il. XV, 404.)

Αἰαῖ, φίλους ἄρ᾽ οὐχὶ κεκτήμην τάλας.

(E. Iphig. A. 404.)

Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου·

(Theognis, 97 sqq.)

Ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου.

(Hom. Il. XIII, 419.)

. . . ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.

(E. Orest. 1156 sq.)

. . . ἄνδρα δ' οὐ χρεὼν
τὸν ἀγαθὸν πράσσοντα μεγάλα τοὺς τρόπους μεθιστάναι
ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις
ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.

(E. Iph. A. 345 sqq.)

. . . ἀνδρῶν σοφῶν
γάρ ἐστι τἀναγκαῖα τοῖς φίλοις λέγειν·
ἔνιοι δέ φασι λανθάνειν τὰ πράγματα,
λέγειν ὀκνοῦντες τὰς ἀληθείας ἀεί.

(Men. inc. Cl. 264.)

Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος.

(Men. inc. Meinecke, v. IV, p. 325, Flrt.)

Ἅπας μὲν οὐ γένοιτ' ἂν εἰς ἡμᾶς φίλος.

(E. Ion, 427.)

Ἀπέπτυσ'. οὐδεὶς ἄδικός ἐστ' ἐμοὶ φίλος.

(E. Hippol. 614.)

Ἄφιλον, ἵν' αὖθίς σοι λέγω, τὸ δυστυχές.

(E. Hercul. Fur. 561.)

Ἀχαριστεῖν πρὸς τοὺς φίλους ἄδικόν ἐστιν.

(Xenophon.)

Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
δηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.

(E. Hecab. 254 sqq.)

Βραδέως μὲν φίλος γίνου· γινόμενος δὲ πειρῶ διαμένειν.

(Isocr. ad Demon. 7.)

. . . γιγνώσκεις ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος.

(E. Medea, 560 sq.)

Δειλὸς γάρ τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον ποιεῖται.

(Hes. Op. 711.)

Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

(E. Medea. 520 sq.)

Διαμένει ἡ φιλία, ἕως ἂν ἀγαθοὶ ὦσι.
Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

(Posidipp. Stob. 37, 14.)

Διδοὺς ἀναπείσεις οὔτε προσπέμπων φίλους.

(Ar. Equit. 473.)

Δοκίμαζε τοὺς φίλους ἐκ τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας.

(Isocr. ad Demon. 7.)

Εὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.

(Men. Monost. 165. Meinecke. v. IV, p. 344.)

— Ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος
ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι
ὡς αἰὲν οὐ μενοῦντα· τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.

(S. Aias. 678 sqq.)

— Εἰ δὲ τὴν φύσιν μὲν ἐχθροί, τὸν δὲ νοῦν εἰσιν φίλοι.

(Ar. Aves. 371.)

— Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.

(Solon. IV, 5 sq.)

Εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο
οὔποι ἂν ἀλλήλοις ἄρθμιοι οὔτε φίλοι
εἶεν· ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε, θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

(Theognis. 315 sqq.)

Ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσιν.

(Democr. Sent. Aur. 67. Or. 1.)

— Ἐλάσσω κακὰ πάσχουσι οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων.

(Demonax. XI, Or. 11. 146.)

Ἐμοὶ γὰρ εἴη πτωχός· εἰ δὲ βούλεται
πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ
φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

(E. Fr. Ino, 8.)

Ἐν εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον, ἐν δὲ δυστυχίῃ πάντων ἀπορώτατον.

(Democr. Sent. Aur. 72, Or. 1.)

Ἑνὸς φιλία συνέτου κρέσσων ἀσυνέτων ἁπάντων.

(Democr. Sent. Aur. 64, Or. 1.)

. . . ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

(E. Androm. 985 sq.)

Ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.

(E. Hecab. 1226 sq.)

Ἐν τοῖσι μὲν δεινοῖσιν, ὡς φίλοι φίλων·
ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν,
αὐτοὶ δι' αὑτοὺς εὐτυχεῖν ἡγούμενοι.

(E. Fr. Peliad. XI.)

Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

(E. Fr. Kressae, 8.)

Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως.

(Chilon.)

Ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.

(E. Iphig. A. 408.)

Εὖ μὲν ἔχοντος ἐμοὶ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.
τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίγνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

(Theognis, 696 sq., 857 sqq.)

Εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἤν τις δυστυχῇ.

(E. Phoen. 403.)

Εὐτυχία πολύφιλος.

(Prov.)

. . . Εὔχου μὴ λαβεῖν πεῖραν φίλων
εἰ δὲ μή, γνώσεις ἂν αὐτοὺς ἄλλο μηδὲν πλὴν σκιάν.

(Philem. M. IV, 30; Cl. 34.)

Ἔχεις πλούτῳ φιλίαν.

(Bias.)

— Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενεῖ ἐξαπατῆσαι,
Κύρνε, φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

(Theognis, 1219 sq.)

Ζεῖ χύτρα, ζῇ φιλία.

(Pythagoras.)

. . . ἡ δ' ἐν ὀφθαλμοῖς χάρις
ἀπόλωλ', ὅταν τις ἐκ δόμων ἔλθῃ.

(E. Fr. incert. 51.)

. . . ἡδὺ γὰρ φίλος
κἂν νυκτὶ λεύσσειν ὅντιν' ἂν παρῇ χρόνον.

(E. Alcest. 345 sq.)

Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.

(Men. incert. 266; Meinecke, v. IV, p. 291, Stob. 118. 11. Cl. 245.)

Ἡ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα
τὸν ἰατρὸν ἂν ἴδωσιν οὐκ ἀλγοῦντ' ἔτι,
οὕτως ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ.

(Philem. incert. Stob. 113, 10. Cl. 358.)

— Ἦ κάρτα πολλοὶ νῦν φίλοι κ' αὖθις πικροί.

(S. Aias. 1349.)

. . . ἡμεῖς γὰρ κακῶν
ἐς τοὔσχατον πεσόντες εὕρομεν φίλους.

(E. Heraclid. 303 sq.)

*—*Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ' ἀμφαδίην νεῖκος ἀειράμενος.
(Theognis, 88 sqq.)

Ἣν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι, παῦροι.
(Theognis, 929 sq.)

Ἤν τις ἐπαινήσῃ σὲ τόσον χρόνον, ὅσσον ὁρῴης,
νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἱῇσι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλὸς
ὅς κ' εἴπῃ γλώσσῃ λῷα, φρονῇ δ' ἕτερα.
(Theognis. 93 sqq.)

Θησαυρὸς μέγας ἐστ' ἀγαθὸς φίλος, Ἡλιόδωρε,
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.
(Anthol. X, 38.)

Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
(Men. Monost. 263, Meinecke, v. IV, p. 347.)

Καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλον
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου.
(Men. Comp. Cl. 272.)

Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.
(E. Medea, 664.)

Κᾆτ' ἐπεὶ κατέσχες ἀρχὰς μεταβαλὼν ἄλλους τρόπους
τοῖς φίλοισιν οὐκέτ' ἦσθα τοῖς πρὶν ὡς πρόσθεν φίλος.
(E. Iphig. A. 343 sq.)

Κοινὰ γὰρ τὰ τῶν φίλων.
(Prov.)

Κοινὰ γὰρ φίλων ἄχη.
(E. Phoen. 243.)

Κρείσσων φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν.
(Stob. Florileg. XVI, 151.)

Κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.
(Prov. Men. Monost. 310.)

Κτημάτων πάντων τιμιώτατον ἀνὴρ φίλος.
(Herod. V, 42.)

Λέξοιμ' ἄν, εἰ χρή· χρὴ δὲ πρὸς φίλων λέγειν.
(E. Electra, 300.)

Λίαν φιλῶν σεαυτὸν οὐκ ἔχεις φίλον.
(Men. Monost. 310.)

Λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ φιλία.
(Pythag. Demoph. 14, Or. 1.)

. . . λόγῳ γὰρ ἦσαν, οὐκ ἔργῳ φίλοι.
(E. Alcest. 539.)

Λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου
ἄγαν δὲ μωραίνοντι νουθετήματα.
(Solon, Stob. 113, 15; E. Fr. incert. 78.)

Μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τι χρή;
(E. Fr. incert. 100.)

Μετάδος φίλοισι σοῖσι τῆς εὐπραξίας
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε κ. τ. λ.
(E. Orest. 450 sq.)

Μέχρι τοῦ τυχεῖν οὗ δεῖται φίλος ἐστίν.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ' ἐστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.

(Theognis. 101 sqq.)

Μηδέποτ' ὀρεχθῆς κτήσασθαι φίλον τὸν μήτε ψυχὴν μήτε σῶμα εὖ ποιῆσαι δυνάμενον.

(Solon, Ant. Mel. 28, Or. 1, 161.)

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ
χερσίν τε σπεύδοι ῥήμασί τ' ἀμφότερα.
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.

(Theognis, 979 sqq.)

Μηνιθμὸν μὲν ἀπορρίψαι φιλότητα δ' ἑλέσθαι.

(Hom. Il. XVI, 282.)

Μήποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπόλεσσαι
πειθόμενος χαλεπῇ, Κύρνε, διαβολίῃ.

(Theognis 323 sqq.)

Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον
ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.
Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

(Theognis, 113 sqq.)

Μήποτε τὸν παρεόντα μεθεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

(Theognis. 1151 sq.)

Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε.

(Isocr. Demon. 7.)

Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.

(Men. Monost. 341, Meinecke, v. IV, p. 349.)

Μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.

(E. Rhesus, 333.)

Μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

(E. Orest. 806.)

. . . νῦν γὰρ εἶ χρεῖος φίλων.
θεοὶ δ' ὅταν τιμῶσιν οὐδὲν δεῖ φίλων.

(E. Hercul. Fur. 1337.)

Οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσιν.

(Isocr. ad Demon. 1.)

Οἱ φιλομεμφέες ἐς φιλίην οὐκ εὐρυέες.

(Democr. Sent. Aur. 76, Or. 1.)

Οἴχεται τιμὰ φίλων τατωμένα
φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν. κ. τ. λ.

(Pind. Nem. X, 186 sqq.)

Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

(Isocr. ad Demon. 7.)

Ὄνομα γὰρ ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἳ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.

(E. Orest. 454 sq.)

*—*Ὃς δὲ μιῇ γλώσσῃ δὶς ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

(Theognis, 91 sq.)

Ὅστις δὲ πλοῦτον ἢ σθένος μᾶλλον φίλων
ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.

(E. Hercul. Fur. 1425 sq.)

Ὅταν φίλος τὶς ἀνδρὶ θυμωθεὶς φίλῳ
ἐς ἓν συνελθὼν ὄμματ' ὄμμασιν διδῷ,
ἐφ' οἷσιν ἥκει ταῦτα χρὴ μόνον σκοπεῖν
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.

(E. Phoen. 461 sqq.)

Οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.

(E. Hercul. Fur. 1234.)

*—*Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

(Theognis, 1079 sq.)

Οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον·
ὅστις γὰρ εὖ δρᾶν, εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.

(S. Philoct. 671 sqq.)

Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
τον κατακρύψας ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι, φίλοις ἐξαρκέων.

(Pind. Nem. I, 47 sqq.)

Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.

(E. Fr. incert. 47.)

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.

(E. Orest. 1155.)

Οὔκουν τόδ' αἰσχρόν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ', ἐπεὶ δ' ἄπεστι μὴ χρώμεσθ' ἔτι;

(E. Hecab. 311 sq.)

Οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.

(E. Helen. 1426.)

Οὐ σοφός, ἀληθὴς δ' εἰς φίλους ἔφυν φίλος.

(E. Orest. 424.)

Οὔτ' ἐν φίλοισιν ἐλπίδες σωτηρίας
ἔτ' εἰσὶν ἡμῖν.

(E. Hercul. Fur. 84 sq.)

Οὔτιν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μήτις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολύβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

(Theognis, 415 sqq.)

— Οὔτοί κ' εἰδείης οὔτ' εὔνοον οὔτε τὸν ἐχθρόν,
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις,
πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

(Theognis, 641 sqq.)

Οὕτω δ' ἀπόντες ἐσπανίζομεν φίλων.

(E. Hercul. Fur. 557.)

. . . πάντα δὲ τιμᾶντα τὰ πάρ φίλων.

(Theocrit. XXVIII [XXV], 25.)

. . . παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν
καμάτου μεταλαμβάνειν.

(Pind. Nem. X, 146.)

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵτινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες
ἶσον τῶν ἀγαθῶν, τῶν τε κακῶν μετέχειν.

(Theognis, 79 sqq.)

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

(Theognis, 845 sq.)

Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.

(E. Electra, 1131.)

— Πολλοὶ δοκέοντες φίλοι εἶναι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσίν.

(Democrit. Sent. Aur. 63, Or. 1.)

Πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος
ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.

(Men., Meinecke, v. IV, p. 106.)

. . . ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;

(E. Orest. 802 sq.)

Πρᾶγμα μέν ἐσθ' ὁ φίλος πάνυ δύσκολον, εἰσὶ δὲ πολλοί,
καὶ σχεδὸν οἱ πάντες μέχρι προσηγορίας.

(Anthol. X, 125.)

Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

(Theognis, 73 sq.)

. . . πρὸς δ' ἐμ' ἀσθενῆ φίλον
δεδόρκατ', οὐδὲν ὄντα πλὴν γλώσσης ψόφον.

(E. Hercul. Fur. 228 sq.)

Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

(Isocr. ad Demon. 7.)

Ὄνομα γὰρ ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἳ μὴ 'πι ταῖσι συμφοραῖς ὄντες φίλοι.

(E. Orest. 454 sq.)

— Ὃς δὲ μιῇ γλώσσῃ δὶς ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

(Theognis, 91 sq.)

Ὅστις δὲ πλοῦτον ἢ σθένος μᾶλλον φίλων
ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.

(E. Hercul. Fur. 1425 sq.)

Ὅταν φίλος τὶς ἀνδρὶ θυμωθεὶς φίλῳ
ἐς ἓν συνελθὼν ὄμματ' ὄμμασιν διδῷ,
ἐφ' οἷσιν ἥκει ταῦτα χρὴ μόνον σκοπεῖν
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.

(E. Phoen. 461 sqq.)

Οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.

(E. Hercul. Fur. 1234.)

— Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

(Theognis, 1079 sq.)

Οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον·
ὅστις γὰρ εὖ δρᾶν, εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.

(S. Philoct. 671 sqq.)

Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
τον κατακρύψας ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι, φίλοις ἐξαρκέων.

(Pind. Nem. I, 47 sqq.)

Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.

(E. Fr. incert. 47.)

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.

(E. Orest. 1155.)

Οὔκουν τόδ' αἰσχρόν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ', ἐπεὶ δ' ἄπεστι μὴ χρώμεσθ' ἔτι;

(E. Hecab. 311 sq.)

Οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.

(E. Helen. 1426.)

Οὐ σοφός, ἀληθὴς δ' εἰς φίλους ἔφυν φίλος.

(E. Orest. 424.)

Οὔτ' ἐν φίλοισιν ἐλπίδες σωτηρίας
ἔτ' εἰσὶν ἡμῖν.

(E. Hercul. Fur. 84 sq.)

Οὔτιν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μήτις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολύβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

(Theognis, 415 sqq.)

— Οὔτοί κ' εἰδείης οὔτ' εὔνοον οὔτε τὸν ἐχθρόν,
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις,
πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

(Theognis, 641 sqq.)

Οὕτω δ' ἀπόντες ἐσπανίζομεν φίλων.

(E. Hercul. Fur. 557.)

. . . πάντα δὲ τιμᾶντα τὰ πάρ φίλων.

(Theocrit. XXVIII [XXV], 25.)

. . . παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν
καμάτου μεταλαμβάνειν.

(Pind. Nem. X, 146.)

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵτινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες
ἶσον τῶν ἀγαθῶν, τῶν τε κακῶν μετέχειν.

(Theognis, 79 sqq.)

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

(Theognis, 845 sq.)

Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.

(E. Electra, 1131.)

— Πολλοὶ δοκέοντες φίλοι εἶναι οὔκ εἰσι, καὶ οὐ δοκέοντες εἰσίν.

(Democrit. Sent. Aur. 63, Or. 1.)

Πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος
ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.

(Men., Meinecke, v. IV, p. 106.)

. . . ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;

(E. Orest. 802 sq.)

Πρᾶγμα μέν ἐσθ' ὁ φίλος πάνυ δύσκολον, εἰσὶ δὲ πολλοί,
καὶ σχεδὸν οἱ πάντες μέχρι προσηγορίας.

(Anthol. X, 125.)

Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

(Theognis, 73 sq.)

. . . πρὸς δ' ἐμ' ἀσθενῆ φίλον
δεδόρκατ', οὐδὲν ὄντα πλὴν γλώσσης ψόφον.

(E. Hercul. Fur. 228 sq.)

Πτωχοῦ φίλοι οὐκ εἰσιν οἱ γεννήτορες.

(Mich. Apost.)

Πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς αἰθέρος περᾶν ἑτοῖμος ὑπὲρ τῷ φίλῳ.

(Plut. Amab. 17, 2, 760.)

Σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς.

(E. Ion, 730.)

Τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ἅπας αἰὼν ἐξαλείψειεν.

(Isocr. Dem. 1.)

. . . τὰ τῶν φίλων
αἴσχιστον, ὅστις καταβαλὼν ἐς συμφορὰς
αὐτὸς σέσωσται.

(E. Iphig. T. 605 sqq.)

Τὰ τῶν φίλων κοίν', οὐ μόνον τὰ χρήματα,
καὶ νοῦ δὲ καὶ φρονήσεως κοινωνία.

(Men. Adelph. 6, Cl. 4.)

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.

(S. Fr. 109.)

Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσιν φίλοι.

(Prov. Athen. V, 187.)

Τί γὰρ γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος
κακός;

Τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία
. . . φίλων ἔλεγχον ἀψευδέστατον.

(E. Hercul. Fur. 57 sqq.)

Τοῖς μὲν νοσοῦσιν ἰατρούς, τοῖς δ' ἀτυχοῦσι φίλους δεῖ παραινεῖν.

(Socr. Stob. 113, 16.)

— Τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν.

(S. Antig. 437 sqq.)

. . . τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν,
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

(E. Orest. 665 sqq.)

Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.

(E. Fr. incert. 49.)

Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς
χρεί' ἐστὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχὴν φίλου,
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος.

(Men. incert. Cl. 254.)

Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας.

(Isocr. ad Demon. 8.)

. . . τῶν γὰρ ἠθάδων
φίλοι νέοι μολόντες εὐπειθέστεροι.

(E. Androm. 818 sq.)

. . . τῶν φίλων γὰρ οὕνεκα
ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών.
(E. Hercul. Fur. 57 sqq.)

. . . τῶν φίλων γὰρ ὢν φίλος,
ἔργοισι χρηστός, οὐ λόγοις ἔφυν μόνον.
(Antiphanes, Athen. VI, 238; Meinecke, v. III, p. 111.)

Ὕβρις καὶ οἶνος εἰώθασιν
ἀποκαλύπτειν φίλοις
τὰ ἤθη τῶν φίλων.
(Men. Incert. Apostolius, Cent. 19, 83.)

Ὑδαρεῖ σαίνειν φιλότητι.
(A. Agam. 798.)

. . . φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον, ἢ κακὸν σοφώτερον.
(E. Ion, 834 sq.)

Φεῦ, μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος,
ὡς πάντ' ἔχουσι, κἂν βραδύνωσι χρόνῳ.
(E. Fr. Philoct. XVI, [T].)

Φεῦ! χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθής ἐστιν ὅς τε μὴ φίλος·
δισσάς τε φωνὰς ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν.
(E. Hippol. 925 sqq.)

Φιλία ἐστὶ μία ψυχὴ ἐν δύο σώμασιν ἐνοικουμένη.
(Aristoteles.)

Φιλία ἐστὶ μία ψυχὴ ἐν δυσὶ σώμασι κειμένη.
(Diog. Laërt.)

Φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τίνες;
(E. Hercul. Fur. 559.)

Φίλοις τ' ἀληθὴς ἦν φίλος, παροῦσί τε
καὶ μὴ παροῦσιν, ὧν ἀριθμὸς οὐ πολύς.
(E. Suppl. 867 sq.)

Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
(S. Oed. R. 612 sq.)

Φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους.
(Periander.)

Φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ.
(E. Fr. incert. 169.)

Φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
(E. Fr. Phoenix, 1446.)

Φίλος φίλου δεόμενος οὐκ ἔστιν φίλος.
(Men. Monost. 590. Meinecke, v. IV, p. 356.)

Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι.
(S. Fr. 773.)

Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς, κλῇθρον εἰργέτω στέγης.
(E. Fr. Erechth. XX. 18 sqq.)

Φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ δ' ἀποδοκίμαζε.
(Solon.)

— Φίλους τιθέντες τούς γε πολεμιωτάτους,
ἐχθρούς γε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.
(E. Hecab. 845 sq.)

Φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
(E. Androm. 376 sq.)

Φίλων δὲ τοὺς μὲν οὐ σαφεῖς ὁρῶ φίλους,
οἱ δ' ὄντες ὀρθῶς ἀδύνατοι προσωφελεῖν.
(E. Hercul. Fur. 55 sq.)

Φίλων λαβεῖν γὰρ πεῖραν οὐ μικρὸν κακόν.
(E. Fr.)

Φίλων παρόντων καὶ ἀπόντων μέμνησο.
(Pittacus.)

Φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.
(S. Fr. 741.)

Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις.
(Men. Comp., Cl. 274.)

Χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων
καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
συμπλεῖν δὲ τοῖς φίλοισιν δυστυχοῦσιν οὔ.
(E. Hercul. Fur. 1223 sqq.)

Χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
φιλίας θνατοὺς ἀνακρίνασθαι,
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχᾶς·
εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι.
(E. Hippol. 253 sqq.)

Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί,
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.
(Men. Comp. Cl. 272.)

. . . ὦ κενοὶ βροτῶν,
οἳ τόξον ἐντείνοντες ὡς καιροῦ πέρα
καὶ πρὸς δίκης γε πολλὰ πάσχοντες κακά,
φίλοις μὲν οὐ πείθεσθε.
(E. Suppl. 744 sqq.)

Ὡς δεινὸν ἔχθρά, μῆτερ, οἰκείων φίλων
καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
(E. Phoen. 374 sq.)

Ὡς συστενάζειν γ' οἶδα γενναίως φίλοις.
(E. Ion, 935.)

. . . ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.

(Ar. Plut. 782 sq.)

Vide: *Adulatio:* Οὔτε. — *Arcanum:* Μυστήριον. — *Cognatio:* Οὐκ ἔστιν. — *Deus:* Θεοὶ δ' ὅταν, Ὅταν. — *Divitiae:* Ἦν μὲν γάρ. — *Gratus:* Φίλου. — *Hospitalitas:* Κοινῆς τραπέζης, Ὡς σκαιός. — *Impudentia:* Οὗτος θάρσος. = *Invidia:* Παύροις. — *Ira:* Οὐκ ἔστιν. — *Libertas:* Φίλον πρός. — *Luctus:* Καὶ γάρ, Οὐ θνητέον. — *Medicina:* Ἀλλ' ἐπ'. — *Mors:* Μηδέ μοι, Σπάνιον δ' ἄρ', — *Morsus:* Οὐδ' αὖ. — *Pars:* Ὁμόφρονα. — *Patria:* Οὐ γάρ, Μεῖζον. — *Peccatum:* Μηδ'. — *Scientia:* Κέρδος μέν. — *Similitudo:* Ὁμοιότης.

Amissio.

Vide: *Magnitudo:* Εἰ μή. — *Praesentia:* Τὰς γάρ. — *Stultitia:* Οἱ γάρ.

Amor (Amare).

1. = Caritas, Ἀγάπη.

Ἀγάπα τὸν πλησίον.

(Thales.)

Ἀλλ' ἐράω, καλὸν δὲ τ' ἐρασσαμένῳ συνεράσθαι.

(Bion, Moschus, 1, 16.)

Δείξω σοὶ φίλτρον ἄνευ φαρμάκου, ἄνευ πόας, ἄνευ ᾠδῆς. ἐὰν θέλῃς ἀγαπᾶσθαι, ἀγάπα.

(H·......r.)

Καὶ μὴν ἐρῶ γε, τὸν δ' ἔρωθ' οὕτως ἔχω,
εἴ μοι θέμις θέλοιμ' ἄν, εἰ δὲ μή, πάρες.

(S. Philoct. 660 sq.)

Καί τοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;

(S. Oed. Col. 775.)

. . . καὶ φύσει
πως εὐάγωγός ἐστι πᾶς ἀνὴρ ἐρῶν.

(Men. Cl. 128.)

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.

(Theognis, 87 sq.)

Νόμιζε δ' εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
ψυχήν, φιλεῖν ἅπαντας.

(E. Alcest. 703.)

Ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον.

(Men. Cl. 16.)

Οὐδεὶς γὰρ ἀγαπῶν αὐτὸς ἀμελεῖθ' ἡδέως.

(Men. Cl. 262.)

Οὐδ' ὑφ' ἑνὸς φιλέεσθαι δοκέει μοι ὁ φιλέων οὐδένα.

(Democrit. Sent. Aur. Or. 1.)

Οὐκ ἄρ' ἐστὶ φίλον τῷ φιλοῦντι οὐδὲν μὴ ἀντιφιλοῦν.

(Plato, Symp. 212.)

Οὐκ ἔστ' ἐραστὴς, ὅστις οὐκ ἀεὶ φιλεῖ.

(E. Troad. 1051.)

*—*Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.

(S. Antig. 523.)

Τοὺς μὲν ἀλλοτρίους οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν· τοὺς δὲ ἀδελφοὺς ἔμπαλιν.

(Theophrast. Stob. LXXXIV, 14.)

— Φιλεῖν ἀκαίρως ἴσον ἐστὶ τῷ μισεῖν.

(Mich. Apost. 20, 19.)

2. = Ἔρως, Κύπρις (cf. Venus).

Αἲ αἲ Ἔρως ἀνιαρέ! τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς ὡς λιμνᾶτις, ἅπαν ἐκ βδέλλα πέπωκας.

(Theocrit. II [V]. 55 sq.)

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
ψυχῆς δικαίας, σώφρονός τε κἀγαθῆς.

(E. Fr. Dictys. VIII.)

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τὸ ἀνόητον οὗτος ὄψεται;

(Men. Cl. 28.)

Ἀνδρὸς δ' ἐρῶντος εἰς Κύπριν νεανίου
ἀφύλακτος ἡ τήρησις· ἢν γὰρ φαῦλος ᾖ
τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος.

(E. Fr. Antigone. VI.)

Ἄνθρωπος καὶ τὰ εἰς ἔρωτα τύχῃ μᾶλλον ἢ ὑπὸ κάλλους κατορθοῦται.

(Pausanias.)

. . . ἄπιστόν ἐστ' ἔρως
κἂν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ [θέλει D.].

(E. Fr. Androm. XII.)

Ἀφροδίσιος γὰρ ὅρκος οὐκ ἐμποίνιμος.

(Stob. XXVIII, 2.)

Γένος, οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.

(Anacr. 46.)

Δένδρεσι μὲν χειμὼν φοβερόν· κακὸν ὕδασι δ' αὐχμός·
ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος.

(Theocrit. VIII [I]. 57 sqq.)

Δέσποιν', ἔρωτος οὐδὲν ἰσχύει πλέον
οὐδ' αὐτὸς ὁ κρατῶν τῶν ἐν οὐρανῷ θεῶν
Ζεὺς, ἀλλ' ἐκείνῳ πάντ' ἀναγκασθεὶς ποιεῖ.

(Men. Cl. 71.)

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον
Ἔρωτα, πάντων δυσμαχώτατον θεῶν.

(E. Fr. Hippol. 3.)

Ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδών, ἐπίσταμ' εὐθύς·
ἔχουσι γάρ τι λεπτὸν
ψυχῆς ἔσω χάραγμα.

(Anacr. 53, 5 sqq.)

. . . ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς,
πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

(Hom. Il. XIV, 215 sqq.)

Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.

(E. Fr. incert. 12.)

Ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν, ὅπως
κάλλιστ' ἐνέγκαιμ' αὐτόν.

(E. Hippol. 392 sq.)

Ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον.
δενδρῶτις ὥρα δ' ἐκ νοτίζοντος γάμου
τέλειός ἐστιν· τῶν δ' ἐγὼ (Ἀφροδίτη) παραίτιος.

(A. Fr. 38.)

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται,
καὶ τόνδ' ἀπείργειν οὔθ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

(S. Fr. 607.)

Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ,
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους· ἓν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.

(E. Fr. Danae, 8.)

. . . Ἔρως σ' ἠνάγκασε
τόξοις ἀφύκτοις.

(E. Medea, 530 sq.)

Ἔρως σοφιστοῦ γίγνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

(Anaxandrid. X, Meinecke, v. III, p. 199.)

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν, ἢ, καλῶν ἄπειρος ὤν,
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

(E. Fr. Auge, 3.)

Ἔρωτες ἡμῖν εἰσι παντοῖοι βίου·
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν·
τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις,
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ.

(E. Fr. Rhadam. 1.)

Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν
οὐκ οἶδ' ἀνάγκης θεσμόν. . . .
. . . .
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον.

(Aristarchus. Stob. LXIII, 9.)

. . . ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας, ἅ οἱ ἥπατι πᾶξε βέλεμνον.

(Theocrit. XIII [XXI], 48.)

. . . ἦ γὰρ Ἔρωτι
πολλάκις . . . τὰ μὴ καλὰ καλὰ πέφανται.

(Theocrit. VI [XI], 18.)

Θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ.

(A. Choëph. 600.)

. . . καὶ γὰρ οὐκ αὐθαίρετοι
βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.

(E. Fr. Dictys, VII.)

Κἂν λύσῃ τις αὐτόν,
οὐκ ἔξεισι, μένει δέ·
δουλεύειν δεδίδακται.

(Anacr. XII, 6.)

. . . Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής.

(Theocrit. I [IV], 100.)

Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ·
ἥν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ.

(E. Fr. Dictys, VI.)

Κύπρις γὰρ οὐ φορητὸν, ἢν πολλὴ ῥυῇ.

(E. Hippol. 443.)

Μόνος ἐστ' ἀπαγόρητον ἀνθρώποις ἔρως.

(Men. Meinecke, v. IV, p. 277, Stob. 64, 7. Cl. 28.)

Νῦν ἔγνων τὸν ἔρωτα, βαρὺς θεός.

(Theocrit. III [VIII], 15.)

Ὁ δέ τοι ἔρως οὐ χαλεπῶς ἔχοι,
ὃς ἀνδρῶν φρένας εὐμαρέας ὑποδάμναται.

(Theocrit. XXIX [XII], 22 sq.)

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
νοσοῦσ', ὁμοίως τοῖς ἄγαν θηρωμένοις.

(E. Fr. Hippol. 6.)

Οἶνος καὶ τὰ λοετρὰ καὶ ἡ περὶ Κύπριν ἐρωὴ
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς Ἀΐδην.

(Anthol. X, 112.)

Ὁρῶσι πάντες πρῶτον, εἶτ' ἐθαύμασαν,
ἔπειτα δ' ἐθεώρησαν, εἶτ' εἰς ἐλπίδα
ἐνέπεσον· οὕτω γίνετ' ἐκ τούτων ἔρως.

(Phil. Cl. 362.)

Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔστι ποίας λείπεται τόθ' ἡδονῆς.

(E. Fr. Androm. XI.)

Ὅταν δ' ἐρῶντος τόλμαν ἀφέλῃς, οἴχεται·
ἐς τοὺς ἰαλέμους δὲ τοῦτον ἔγγραφε.

(Men. Cl. 84.)

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.

(Alexis, 88. Meinecke, v. III, p. 520.)

Παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς
πλεῖστον ὑπάρχει, καὶ προσομιλεῖν
οὗτος ὁ δαίμων
πάντων ἥδιστος ἔφυ θνητοῖς.

(E. Fr. incert. 113.)

Πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἀμφεκάλυψεν.

(Theocrit. XIV [XIII], 52.)

Πολλοῖς ὑπόκαυμ' ἐστ' ἔρωτος μουσική.

(Men. Cl. 84.)

Σὺ δ' ὦ τύραννε θεῶν τε κἀνθρώπων, Ἔρως,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,
μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει.
Τὰ μωρὰ γὰρ πάντ' ἔστιν Ἀφροδίτη βροτοῖς.

(E. Fr. Troad. 989.)

Τῇ Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς·
τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής.

(E. Fr. Aeol. VII.)

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι.

(Mimnermos. El. 1, Stob. LXIII, 16.)

Τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
ἐν ταῖς σοφαῖσιν.

(E. Hippol. 642 sq.)

Τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν
μήποτε φεύγειν,
χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.

(E. Fr. incert. 113.)

. . . τὸ ἐρᾶν ἐπισκοτεῖ
ἅπασιν, ὡς ἔοικε, καὶ τοῖς εὐλόγως
καὶ τοῖς κακῶς ἔχουσιν.

(Men. Cl. 14.)

Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευε
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

(Archiloch. Stob. LXIV. 11.)

Τοῦτον ἔρως ἔκτεινεν· ὁδοιπόρε μὴ παροδεύσῃς,
ἀλλὰ στὰς τόδε λέξον· ἀπηνέα εἶχεν ἑταῖρον.

(Theocrit. XXIII [XXVI], 47 sq.)

Φεῦ, φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

(E. Medea, 330.)

Φιλοσοφοῦντος λογισμοῦ βέλος ἀφροδίσιον οὐχ ἅπτεται.

(Theophyl.)

. . . φύσει γὰρ ἔστ' ἔρως
τοῦ νουθετοῦντος κωφόν, ἅμα δ' οὐ ῥᾴδιον
νεότητα νικᾶν ἐστι καὶ θεὸν λόγῳ.

(Men. Cl. 18 sqq.)

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
χαλεπὸν δὲ καὶ φιλῆσαι,
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.

(Anacr. 46.)

Χὤ,τι τὸ φάρμακόν ἐστιν ἀμαχανέοντος ἔρωτος
οὐκ οἶδα.

(Theocrit. XIV [XXIII], 52.)

Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

(E. Fr. Ino, X.)

Ὤμοσεν, ἀλλὰ λέγουσιν ἀλαθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

(Callim. Ep. 26, Stob. XXVIII. 3.)

Vide: *Nimis:* Τὸ λίαν. — *Pueritia:* Παῖδ'. — *Senectus:* Ἄλλη. — *Vinum:* Οἴνου δέ.

Anarchia.

Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.

(S. Antigone, 672.)

Anima (cf. Vita, Animus, Spiritus, Mens, Corpus).

— Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.

(Men. Monost. 85, Meinecke, v. IV, p. 342.)

Ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.

(E. Alcest. 107.)

— Εὖ τὸ σῶμα ἔχειν καὶ τὴν ψυχήν. (Cleobul.)

— Ἰσχὺν τῇ ψυχῇ αἱροῦ μᾶλλον ἢ τῷ σώματι. (Pythagoras.)

Πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς. (E. Orest. 1034.)

— Τί γὰρ πρός σέ ἐστιν . . .
ἂν μήτε σαρκὸς ἅπτηται, μήτε ψυχῆς; (Men. Incert. Cl. 252.)

— . . . τοῦτο γὰρ μόνον βροτοῖς
οὐκ ἔστι τἀνάλωμ' ἀναλωθὲν λαβεῖν,
ψυχὴν βροτείαν· χρημάτων δ' εἰσὶν πόροι. (E. Suppl. 775 sqq.)

Ψυχὰν ἄψυχον ἔχοντα. (E. Ranae, 1334.)

Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον. (E. Medea, 967 sq.)

Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον. (E. Alcest. 301.)

Vide: *Jus:* Ψυχὴ γάρ. — *Sanitas:* Μέγιστον. — *Unus:* Ψυχή μέν. — *Verbum:* Ψυχῆς πόνοι.

Animus (cf. Mens, Sententia, Consilium; Pectus, Ira).

— Λῆμα μὲν οὔπω στόρνυσι χρόνος
τὸ σόν, ἀλλ' ἡβᾷ· σῶμα δὲ φροῦδον. (E. Heraclid. 702.)

Vide: *Facies:* Καλή. — *Metus:* Μέμνησο. — *Pulchritudo:* Νοῦν χρή. — *Servitium:* Εἰ σῶμα. — *Stabilitas:* Νοῦς δέ γ'.

Ante, Antea.

— Οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω. (Hom. Il. I, 343.)

Antiquus, v. Vetus.

Aperire, v. Perspicuitas.

Apparentia, Apparere (cf. Videri).

Πολλοὶ δὲ βροτοὶ τὸ δοκεῖν εἶναι
προτίουσι, δίκην παραβάντες. (E. Agam. 788 sq.)

Vide: *Levis:* Πολλοί τοι.

Approbatio, v. Probatio.

Aptitudo (cf. Congruentia).

Ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.

(Ar. Ranae, 1247.)

Vide: *Stultitia*: Οὔτε τά.

Aqua, *Aquosus.

Ἄριστον μὲν ὕδωρ.

(Pind. Ol. I, 1.)

* . . . τὸ γὰρ
ὑδαρὲς ἅπαν τοῦτ' ἔστι τῇ ψυχῇ κακόν.

(Diphil. Athen. X, 424.)

Vide: *Amicitia*: Ὑδαρές. — *Hostis*: Οὔποθ'. — *Pretiosus*: Τὸ ὕδωρ.

Arcanum.

Ἃ δ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ.

(S. Oed. Col. 1526.)

Μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος.
κλεῖθρον γὰρ οὐδέν· ὡς δ' ἂν εὐπετὲς λάβοις,
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

(S. Fr. 673.)

Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ.

(Men. Comp. Cl. 274.)

Ardelio.

Εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεύειν;

(Prov.)

Argentum (cf. Pecunia, Nummus, Opes, Dives), *Argenteus.

* Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα κρατήσεις.

(Oraculum ad Philippum.)

Argumentum (cf. Conjectura).

. . . Ἔλεγχος γὰρ θεὸς
τῇ παῤῥησίᾳ τῇ τ' ἀληθείᾳ φίλος.

(Men. Cl. 58.)

Στοχάζω τὰ νῦν ἐκ τῶν ποτε.

Vide: *Magnitudo*: Σταθμώμενον.

Arrogantia, Contumacia (cf. Insolentia, Superbia).

Αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.

(A. Prom. Vinct. 1012 sq.)

Αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.

(S. Antigone, 1028.)

Εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.

(S. Oed. R. 549 sq.)

. . . μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον.

(Hom. Od. VI, 274.)

Μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς συ, κοὐδὲν ἄλλο τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.

(S. Antigone, 707 sqq.)

Ὁ τύφος ὥσπερ ποιμὴν, οὗ θέλει, τοὺς πολλοὺς ἄγει.

(Diogen. Stob. XXII. 41.)

Πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ.

(A. Prom. Vinct. 1084 sq.)

Τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε πημονὰς καθώρμισαν.

(A. Prom. Vinct. 964 sq.)

Ars. *Artificium, v. Dolus.

Βίου δ' ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις.

(Men. Cl. 20.)

Ἔρδοι τις, ἣν ἕκαστος εἰδείη τέχνην.

(Ar. Vesp. 1431.)

Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.

(Prov., Men. Meinecke, v. IV, p. 348.)

(Ὁ) πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην,
πολλοὺς ἐποίησεν ἀθλίους· ἁπλοῦν γὰρ ἦν
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν.

(Men. Meinecke. v. IV, p. 75.)

Ὅστις τέχνην κατέδειξε πρῶτος τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν.

(Antiphon. Meinecke, v. III, p. 66.)

Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης.
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὐτοῦ λέληθε παραπλέων τὰς συμφοράς.

(Amph., Stob. LX, 1.)

Οὔτε γὰρ ναυαγὸς, ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὐτόν, οὔτ' ἀνὴρ πένης γεγὼς,
μὴ οὐ τέχνην μαθὼν, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.

(Phil. Cl. 346.)

Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ', οὔθ' ἡ τέχνη.
(Ar. Plutus, 408.)

Οὔτε φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ.
(Simyl. Stob. LX, 4.)

Οὐχ' ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν·
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.
(Hermodot. Stob. LX, 3.)

Πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται,
διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται
ὑποβολιμαίαν σύνεσιν ἠμφιεσμένος.
(Meinecke, Fr. incert. 360, v. IV, p. 693.)

Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.
τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος καὶ μεταβολαὶ
τύχης ἀνήλωσ', ἡ τέχνη δὲ σώζεται.
(Hipparch. Meinecke, v. IV. p. 432.)

Τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην.
(Agathon ap. Aristot.)

Τίνας νῦν τέχνας ἔχομεν ἢ λόγους
σφαλεῖσαι κάθαμμα λύειν λόγου;
(E. Hippol. 670 sq.)

. . . Τὸν δ' οὔτ' ἄρ'
σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα
οὔτ' ἄλλως τι σοφόν. πάσης δ' ἡμάρτανε τέχνης.
(Hom. ex Margit.)

Τὸ τέχνιον πᾶσα γαῖα τρέφει.
(Sueton. in Nerone.)

* Ὡς ἀεὶ τέχνη μέγ' ἄμεινον ἰσχύος ἐστίν.
(Servius, Cl. Alex. VI, 738.)

Vide: *Audere:* Ὦ πάντα. — *Calamitas:* Αὐτὸς οὐκ. — *Femina:* Πολλὰς ἂν. — *Necessitas:* Τέχνη. — *Paupertas:* Ἆ πενία. — *Unus:* Πόλλ' οἶδ'.

Asinus (cf. Pigritia).

Ὄνος βαδίζεις εἰς ἄχυρα τραγημάτων.
(Phil. incert. 93, Meinecke, v. IV, p. 61.)

Ὄνος ἐν πιθήκοις ἐστί (δὴ τὸ λεγόμενον).
(Men.)

Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς.
(Men. Cl. 198.)

Ὄνος πρὸς αὐλόν.
(Prov.)

Ὑπὲρ ὄνου σκιᾶς.
(Ar. Vesp. 191.)

Vide: *Delirium:* Τί δῆτα.

Assiduitas (cf. Diligentia, Constantia).

Vide: *Gutta:* Ἐκ θαμινῆς. — *Labor:* Τὸ συνεχές.

Astutia (cf. Calliditas, Sapientia, Prudentia, Dolus).

Αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν.

(Hom. Od. XIII, 255.)

Εὗρε δὲ ὁ πανοῦργος ἕτερον πολὺ πανουργίας
μείζοσι κεκασμένον
καὶ δόλοισι ποικίλοις
ῥήμασι θ' αἱμύλοις.

(Ar. Equit. 684 sqq.)

Ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.

(E. Iphig. A. 444 sq.)

Ate (cf. Calamitas, Noxa, Culpa).

Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται
οὐλομένη, τῆς μέν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδει
πίλναται· ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει,
βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησε.

(Hom. Il. XIX, 91 sqq.)

Attentio.

. . . Σὺ δὲ
ὀξεῖαν ἀκουὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.

(S. Electra, 29 sqq.)

Vide: *Intelligentia:* Μαθοῦσιν.

Atticus.

Ἐπὶ τοῦ προσώπου τ' ἐστὶν Ἀττικὸν βλέπος.

(Ar. Nubes, 1171.)

Auctoritas, *Sine Auctore.

Vide: *Honor:* Τὸ δ' ἀξίωμα. — *Nihil:* Λόγος. — *Rumor:* *Ἀκέφαλος. — *Suasio:* Τὸ δ' ἀξίωμα.

Audacia (cf. Fiducia, Temeritas, Arrogantia, Confidentia).

Ἀεί γε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.

(A. Prom. Vinct. 42.)

Αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.

(E. Rhesus, 122.)

Ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν.

(E. Fr. incert. 30.)

Ἀμάθεια μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει.

(Thucyd. II.)

Ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαῤῥεῖν.

(Themistocl. ap. Plutarch.)

— Εἷς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ,
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ.

(Sositheos, Stob. LI, 23.)

Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.

(Men. Monost. 151. Meinecke, v. IV, p. 144.)

Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας,
ὃ δή γε πολλοὺς ὤλεσε στρατηλάτας.

(E. Suppl. 161 sq.)

Θάρσει, τό τοι δίκαιον ἰσχύει μέγα.

(E. Fr. Dictys, 2.)

Θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.

(E. Fr. Belleroph. 14.)

Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ
γενναιότητι κἀπιεικείᾳ
ἀρετὴν ἐκτήσατο.

(E. Fr. incert. 53.)

Θρασοστομεῖν οὐ πρέπει τοὺς ἥσσονας.

(A. Suppl. 203.)

Κακὰς δὲ τόλμας, μήτ' ἐπισταίμην ἐγὼ
μήτ' ἐκμάθοιμι, τὰς δὲ τολμώσας στυγῶ.

(S. Trach. 582 sq.)

— Κακίους εἰσὶ πρὸς αἰχμήν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.

(Philo, 1308.)

. . . οὐδεὶς αὐτὸς ἐν πόνοις ἀνήρ,
ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.

(E. Iphig. T. 729 sq.)

Οὐκ ἔστι τόλμης ἐπιφανεστέρα θεός.

(Men. incert. Meinecke, v. IV, p. 289.)

Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.

(Men., Meinecke, v. IV, p. 289.)

Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά.

(E. Fr. Ino, 12.)

— Πότερα γενέσθαι δῆτα χρησιμώτερον,
σύνετον ἄτολμον, ἢ θρασύν τε κἀμαθῆ;
τὸ μὲν γὰρ αὐτῶν σκαιόν, ἀλλ' ἀμύνεται,
τὸ δὲ ἡσυχαῖον ἀργόν, ἐν δ' ἀμφοῖν νόσος.

(E. Fr. Oedip. X.)

Προβᾶσ' ἐπ' ἔσχατον θράσους,
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες.

(S. Antigone, 853 sqq.)

Πρὸς μὲν τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς τεταγμένους εὔνοιαν.

(Agesilaos.)

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστι,
χωρὶς δὲ βλαβερή, καὶ κακότητα φέρει.

(Euenos, Stob. LI, 17.)

. . . σφαλερὸν ἡγεμὼν θρασὺς
νεώς τε ναύτης· ἥσυχος καιρῷ σοφός.
καὶ τοῦτό τοι τ' ἀνδρεῖον, ἡ προμηθία.

(E. Suppl. 508 sqq.)

Τὰ πολλὰ τολμᾶν, πόλλ' ἁμαρτάνειν ποιεῖ.

(Mich. Apost. XIX, 71.)

Τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς
τόλμ', ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἄν, οὔτ' οἶκος μέγας.

(E. Fr. Ixion, II.)

Τόλμα ἀεί, κἂν τι τρηχὺ νέμωσι θεοί.

(E. Fr. Teleph. XXIX.)

Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.

(Theognis, 1029 sqq.)

Τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.

(E. Hecab. 751.)

Τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ
μόχθος πολλὴν εὐδαιμονίαν
τίκτει θνητοῖσι τελευτῶν.

(E. Fr. Temenos, VIII.)

Τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.

(Democrit. Stob. LI, 16.)

Τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

(E. Fr. Hippol. II.)

Τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.

(A. Prom. Vinct. 999 sq.)

. . . . . . ὑπερφέρεις
τόλμῃ τε τόλμαν, καί λόγῳ χρηστῷ λόγον.

(E. Heraclid. 254 sq.)

Ὑψαγόρην τ' ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν.

(Hom. Od. I, 385.)

Ὑψίπολις ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι, τόλμας χάριν.

(S. Antigone, 370 sq.)

Φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.

(S. Antigone. 580 sq.)

. . . φύλαξαι μὴ θράσος τέκῃ φόβον.

(A. Suppl. 498.)

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

(Theognis, 555 sq.)

Vide: *Auxilium:* Ὅταν τι. — *Bonitas:* Ἀγαθὸς μὲν, Τολμᾷ. — *Cautio:* Ἀσφαλής. — *Justitia:* Δίκαια. — *Libertas:* Ταρβῶ. — *Parvus:* Βέλτιον. — *Pudor:* Αἰδώς. — *Stultitia:* Οὐκ ἐστ'.

Audire (cf. Dicere, Facere).

— Ἀγνοεῖς, ὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ' ὁ λέγων, ἀλλ' ὁ ἀκούων.

(Plato.)

Ἄκουε δ' ἂν οὖς ἔχων.

(A. Fr.)

— Ἄκουε πολλὰ, λάλει τὰ καίρια.

(Bias, Stob. LXXIX. 3.)

— Βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;

(S. Antigone. 758.)

— Ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
. . . τούσδε καὶ πράσσειν στυγῶ.

(S. Philoct. 87 sq.)

— Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν.

(Epictet. Fr. 11, Stob. I, 52.)

— Εἰ δὲ κακὸν εἴποις, τάχα τ' αὐτὸς μεῖζον ἀκούσαις.

(Hes. op. 719.)

Εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις.

(Pind. Pyth. I, 173 sq.)

Ἦ που σοφὸς ἦν, ὅστις ἔφασκεν· Πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,
οὐκ ἂν δικάσαις.

(Ar. Vesp. 725 sq.)

Ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν,
ἵνα διπλασίονα ὧν λέγομεν, ἀκούωμεν.

(Zeno, Plut. 2. 502.)

. . . κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

(S. Aias, 1161 sq.)

— Κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.

(A. Eumenid. 430.)

Λόγων δ' ἀκοῦσαι τίς βλάβη;

(S. Oed. Col. 1187.)

Μὴ νῦν ἀκούουσ' ἐμφανῶς, ἄκου' ἄγαν.

(A. Sept. Contr. Theb. 247.)

Μὴ πάντ' ἄκουε, μηδὲ πάντα μάνθανε.

(Dionys., Meinecke. v. III. p. 548.)

Μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.
(Phocyl.)

— Ὀλίγα μὲν λαλῶν, πολλὰ δὲ ἀκούων.
(Lucian.)

Ὁπποῖόν τ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
(Hom. Il. XX, 250.)

Ὁ προκαταγιγνώσκων πρὶν ἀκοῦσαι σαφῶς,
αὐτὸς πονηρός ἐστι, πιστεύσας κακῶς.
(Men. Cl. 222.)

. . . οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅσ' αὐτίκα
ὄψει παρεστώς.
(Ar. Thesmoph. 5 sq.)

— Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲ δὲ ἐθέλειν ἀκούειν.
(Democrit. Stob. XXXVI, 24.)

Πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἂν ἀκούσῃς ἀμφοτέρων.
(Ar. Vesp. 919 sq.)

Σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς
λόγους, ἀκούειν τῶν ἐναντίων πάρα.
(E. Androm. 957 sq.)

— Σὺ δ' ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοις.
(E. Iphig. A. 1134.)

. . . τοῖς ἀκούουσιν λέγε.
(S. Aias, 592.)

. . . τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
(S. Trach. 289 sq.)

— Φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον.
(Cleobul.)

Χαλεπὸν ἀκροατὴς ἀσύνετος καθήμενος.
(Philem. Cl. 374.)

Vide: *Ipse:* Αὐτὸς βαρεῖαν. — *Judicium:* Τίς ἂν. — *Necessitas:* Φέρω. — *Oculus:* Ὠτίων. — *Videre*: Δεινὸς μέν, Οἱ πρῶτα. — *Vinum:* Πᾶς.

Augurium (cf. Vaticinium, Praesagium).

Εἷς οἰωνὸς ἄριστος· ἀμύνεσθαι περὶ πάτρης.
(Hom. Il. XII, 243.)

Ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας.
(E. Electra, 791.)

Auris (cf. Audire, Oculus).

Αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος.
(Hom. Il. XXII, 454.)

Ἐπ' ἀμφότερα νύ γ' ἡ 'πίκληρος οὔατα
μέλλει καθευδήσειν, κατεργάσασα μέγα.
(Men. Cl. 150.)

Οἱ ἐλαφροὶ τῶν ἀνθρώπων, καθάπερ τὰ κενὰ τῶν ἀγγείων εὐβάστακτοι τοῖς ὠταρίοις εἰσίν.

(Pythagor. Sent. Aur.)

Aurora (cf. Nox).

Ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν,
Ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου.
Ἠὼς, ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους.

(Hes. Op. 576 sqq.)

Aurum, *Aureus (cf. Divitiae, Pecunia, Nummus).

Ἆρ' ἐστι λῆρος πάντα πρὸς τὸ χρυσίον.

(Antiph. Stob. XCI, 14.)

Ὁ χρυσὸς ἅτ' εὐτυχία
φρενῶν βροτοὺς ἐξάγεται
δύνασιν (ἄδικον) ἐφέλκων.

(E. Hercul. Fur. 774 sqq.)

Χρυσὸς δ' ἀνοίγει πάντα κἀΐδου πύλας.

(Men. Meinecke, v. IV, p. 355.)

Χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.

(E. Medea, 965.)

Ὦ χρυσὲ, βλάστημα χθονὸς,
οἷον ἔρωτα βροτοῖσι φλέγεις,
πάντων κράτιστε, πάντων τύραννε,
πολεμεῖς δ' Ἄρεος
κρείσσον' ἔχων δύναμιν,
πάντα θέλγεις.

(Diod. Sicul. XVI, 92.)

Ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς.
ὡς οὐδὲ μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ,
οἵας σὺ χοἵ σε δώμασιν κεκτημένοι.
εἰ δὲ ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.

(E. Fr. Danae, XIV.)

Auxilium, Adjutorium.

Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί,
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης.

(Men. Meinecke, v. IV, p. 224.)

Ἐσθλοῦ γὰρ ἀνδρὸς, τοὺς πονοῦντας ὠφελεῖν.

(S. Fr. 661.)

Vide: *Amicus:* Μισῶ. — *Fortuna:* Ὁ πρῶτος. — *Manus:* Τὴν χεῖρα. — *Labor:* Τῷ γὰρ, Φιλεῖ δὲ — *Veritas:* Ἔξεστι.

Avaritia, v. Cupiditas (cf. Parsimonia, Lucrum).

Ἀλλὰ σχεδόν τι τὸ κεφάλαιόν τῶν κακῶν
εἴρηκας· ἐν φιλαργυρίᾳ γὰρ πάντ' ἔνι.

(Apollodor. Meinecke, v. IV, p. 439.)

Ἆρ' ἐστὶν ἀνοητότατον αἰσχροκερδία·
πρὸς τὸ λαβεῖν γὰρ ὢν ὁ νοῦς, τἄλλ' οὐχ ὁρᾷ.

(Diphil. incert. Meinecke, v. IV, p. 421.)

Ἡ φιλαργυρία μητρόπολις πάσης κακίας ἐστίν.

(Bion, Stob. X, 38.)

Ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνὴρ,
φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

(E. Fr. Polyid. XI.)

Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνὴρ,
οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται,
φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

(E. Fr. Ixion, IV.)

Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.

(Socrates.)

Πᾶς δ' ὑπὸ κόλπῳ χεῖρας ἔχων, πόθεν αὔξεται ἀθρεῖ
ἄργυρος; οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη.

(Theocrit. XVI [XV], 16 sq.)

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν·
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας ·
ἀποτυγχάνουσι πολλάκις νικώμενοι
τά τ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

(Men. Incert. Meinecke, v. IV, p. 243.)

Τὸ κεφάλαιον τῶν κακῶν φιλαργυρία.

(Apollodor.)

Φιλαργυρία τοῦτ' ἐστιν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια, τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς.

(Diphil. incert. Meinecke, v. IV, p. 421.)

Χαιρέτω ὅστις τοῖος· ἀνήριθμος δέ οἱ εἴη
ἄργυρος· αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν.

(Theocrit. XVI [XV], 65 sq.)

Vide: *Mors:* Σπάνιον. — *Vates:* Τὸ μαντικὸν.

Barbarus.

Βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις.

(E. Orest. 485.)

Vide: *Lingua:* Σοῦ γὰρ.

Beatitudo, v. Felicitas.

Bellum (Pugna) (cf. Pax), *Bellicosus.

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

(Hom. Il. IX, 63 sq.; Ar. Pax, 1097.)

Ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης.

(Thucydid. I, 83.)

Ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.

(Hom. Il. XVIII, 201.)

Οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναίοι.

(Ar. Pax, 1075 sq.)

Πᾶς δ' ἐξεθέρισεν, ὥστε πύρινον στάχυν
σπάθῃ κολούων φασγάνου μελανέτου.

(E. Fr. Eurysth. II.)

Πόλεμον εἰσήνεγκε . . . χθονὶ . . .
ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα.

(E. Helena, 38 sqq.)

Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος

(Demosthen. VI, 50, 10.)

Πολλὰ δυσχερῆ γίγνεται ἐκ τοῦ πολέμου.

(Demosthenes.)

Τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται.

(E. Suppl. CXIX.)

Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.

(E. Fr. incert. LVII.)

Χρήματα νεῦρα πολέμου.

(Prov.)

Vide: *Gallus:* *Ἀλεκτρύων, *Ἐνδομάχας. — *Mors:* Θῖνες.

Bibere, v. Potus.

Bilis (cf. Ira, Fel).

Ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολή.

(Prov.)

Καὶ μύρμηκι χολὴν καὶ σέρφῳ φασὶν ἐνεῖναι,
 εἶτα χολὴν μὲν ἔχει ζῶα τὰ φαυλότατα.

(Pallad. Anth. X. 49.)

Bis (cf. Duo, Semel), *(Bis Ter).

Ἁμαρτάνειν δὶς ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.

(Men. Monost.)

. . . δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν.

(S. Oed. Col. 363.)

Δὶς γὰρ τόγε καλῶς ῥητὸν οὐδὲν βλάπτει.

(Plato, De Leg. 6.)

Δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης.

(Plato, Cratyl. 402.)

*Δὶς καὶ τρὶς τόγε γε καλῶς ἔχον ἐπαναπολεῖν τῷ λόγῳ δεῖ.

(Plato.)

*Δὶς καὶ τρὶς τὸ καλόν.

(Prov.)

Δὶς ταὐτὰ βούλει καὶ τρὶς μ' ἀναπολεῖν ἔπη;

(S. Philoctet. 1238.)

Vide: *Navis:* Τεθαύμαχ'.

Blanditio, v. Adulatio.

Bonum, *—*Bonum — Malum (Beneficium, v. Gratia).

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μὴ ἐθέλειν.

(Democrit.)

*—*Ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς.

(Theognis. 319 sq.)

Αἰαῖ τί μ' οὐκ ἔασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;

(E. Phoen. 1217 sq.)

*—*Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.

(Hes. Op. 177.)

*—*Ἀλλ' ἤτοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκεν
Ζεύς.

(Hom. Od. XV. 487 sq.)

*—*Ἀλλ' οὐχ' ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.

(S. Antigone. 520.)

Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

(E. Fr. Aegeus. IV.)

*—*Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,
κακῷ κακὸς συντέτηκεν ἡδοναῖς.

(E. Fr. Belleroph. VIII.)

*—*Ἀνθρώπινα κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ ἐπίστηται ποδηγετέειν μηδὲ ὀχέειν εὐπόρως. Οὐδὲ δίκαιον ἐν κακοῖσι τὰ τοιάδε κρίνειν, ἀλλ' ἐν ἀγαθοῖσιν ἔντι· τοῖς τε ἀγαθοῖσιν οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακὰ εἴ τινι βουλομένῳ ἂν ᾖ.

(Democrit. Stob. Eccl. II, 9, p. 406.)

Διζημένοισί τ' ἀγαθὰ μόλις παραγίνεται, τὰ δὲ κακὰ μὴ διζημένοισιν.

(Democrit. Sent. Aur. Or. 1.)

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων, οἷα δίδωσι· κακῶν, ἕτερος δὲ ἐάων.
ᾧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν,
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.

(Hom. Il. XXIV, 527 sqq.)

*—*Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον, ὅτι κακὸς εἶ.

(Epictet. Stob. I, 45.)

—. . . ἔλεξε γάρ τις ὡς τὰ χείρονα
πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων.
ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω
πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς.

(E. Suppl. 196 sqq.)

*—*Ἐνταῦθ' ἀνὴρ γάρ ἐστιν ἀνδρὸς διάφορος
ἐν τῷ τό τε κακὸν εὖ φέρειν καί τἀγαθόν.

(Philem. incert. Cl. 359.)

*—*Ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηα δὲ χείρονι δόσκεν.

(Hom. Il. XIV, 382.)

*—*Ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.

(E. Helen. 1213.)

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

(Theognis, 35.)

Εὖ μὲν κείμενον ἀνδρὶ κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

(Theognis, 845 sq.)

*—*Ἐς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ' ὥσπερ πεφύκασ', οὔποτ' εὖ πράξειαν ἄν.

(E. Ion, 1623 sq.)

*—*Εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Δημέα [Σιμύλε],
ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.

(Men. Cl. 122, 248.)

Ἡ νῦν ὑπό τινων χρηστότης καλουμένη,
μεθῆκε τὸν ὅλον εἰς ἀπορίαν βίον.
οὐδεὶς γὰρ ἀδικῶν τυγχάνει τιμωρίας.

(Men. incert. Cl. 222.)

Κἂν ταῖς ἀπορίαις ἐσθ' ὁ χρηστὸς χρήσιμος.

(Men. Monost.)

Κοινὸν ἀγαθόν ἐστι τοῦτο· χρηστὸς εὐτυχῶν.

(Men. incert. Cl. 220.)

Μακάριον ἡ χρηστότης
πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον βίῳ.

(Men. incert. Cl. 218.)

Μήτι παυσαίμεσθα δρῶντες εὖ βροτοῖς.
(Plutarch, Amab. 14, 4.)

Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης.
(Men. incert. Meinecke, v. IV, p. 288.)

— Μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον.
(Men. incert. Cl. 202.)

— Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν.
(Solon, IV, 63.)

— Οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
(Hom. Od. XVII, 65.)

— Οἱ χρηστοὶ μὲν ἐν τοῖς λόγοις, ἄχρηστοι δὲ κατὰ τὸν βίον. ὅμοιοί εἰσι τοῖς ἀγαθοῖς ἐνυπνίοις.
(Oxyth. M. Flor. III, 36.)

— Ὀλίγοι γὰρ ἐσθλῶν κρείσσονες πολλῶν κακῶν.
(E. Fr. Archil. XIV.)

Ὅστις γὰρ εὖ δρᾶν, εὖ παθεῖν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
(S. Philoctet. 672 sq.)

— Ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
(E. Hippol. 411 sq.)

— Οὐ γὰρ δίκαιον, οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς κακούς.
(S. Oed. R. 609 sq.)

— Οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλόν.
(E. Phoen. 814.)

— Οὐδὲν γένους γένος γὰρ οἶμαι διαφέρειν,
ἀλλ' εἰ δικαίως ἐξετάσεις, καὶ γνήσιος
ὁ χρηστός ἐστιν, ὁ δὲ πονηρὸς καὶ νόθος.
(Men. Cl. 106.)

— Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.
(E. Fr. Aeol. II.)

— Οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ
φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς,
ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν,
ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις.
(Men. Meinecke, v. IV, p. 194.)

— Ὄφρα γνῷς κατὰ θυμὸν ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
(Hom. Od. XXII, 373.)

— Πολλάκις ἄνδρες ἀγαθοὶ κακοῖς προσγενόμενοι
πολλῷ θᾶττον κακίας μετέλαβον, ἢ μετέδοσαν ἀρετῆς.
(Nilus Episcop.)

— Πόλλ' ἐστὶν ἐν πολλαῖσιν οἰκίαις κακά,
ἃ καλῶς ἐὰν ἐνέγκῃς, ἀγαθὰ γενήσεται.
(Philem. Cl. 358.)

— Ποτὲ μὲν κακὸν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει [sc. ἄνθρωπος].
(S. Antigone. 367.)

— Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος,
τοῦ δ' ἀγαθοῦ χαλεπὴ, Κύρνε, πέλει παλάμη.
(Theognis, 1027 sq.)

— Ῥῄδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ 'κ κακοῦ ἐσθλόν.
(Theognis, 577.)

— Τὰ δυσχερῆ τε καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.

— . . . τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ.
(E. Fr. Phoenix. XII.)

— Τὸ γὰρ κακὸν πολυειδὲς, τὸ δ' ἀγαθὸν μονοειδὲς,
τό τε γὰρ ἀγαθὸν ἁπλοῦν, τό τε κακὸν πολύμορφον.
(Aristotel. mag. moral.)

— Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ,
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.
(Theognis, 797 sq.)

— Ὑπὸ πολλῶν διαβάλλεσθαι κακῶν οὔτε ἀληθὲς οὔτε βλαβερὸν·
τὸ δὲ ὑφ' ἑνὸς ἀγαθοῦ ψέγεσθαι καὶ ἀληθὲς καὶ λυσιτελές.
(Moschus. 15.)

— Φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,
κακοὺς δ' ἀποπτύωμεν ὥσπερ ἄξιοι.
(E. Fr. Ino. XXIII.)

Ὧδε γὰρ εἰς ἓν ἅπαντα συνήρμοσας ἐσθλὰ κακοῖσιν.
(Cleanth. ad Jovem.)

Vide: *Dicere:* Ἀλλ' εἴτε, Κἄν τις, Λόγῳ. — *Duplicitas:* Ἐσθλ'. — *Imitatio:* Ἀγαθὸν. — *Invidia:* Ὄψον. — *Justitia:* Ἐσθλοῦ. — *Labor:* Τὰ μὲν. — *Parsimonia:* Κακὸν δὲ. — *Precatio:* Ζεῦ. — *Pudor:* Αἰσχύνεται.

Bos.

. . . ἐκ τοῦ βοὸς τοὺς ἱμάντας λαμβάνειν.
(Prov.)

Ἡ ἅμαξα τὸν βοῦν ἐλαύνει.
(Prov.)

Brevitas, Brevis (cf. Perspicuitas).

Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς, ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷόστε συντέμνειν λόγους.
(Ar. Thesmoph. 177 sq.)

Βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.
(E. Fr. Erechth. XX. 5.)

Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά.
(S. Fr. 89.)

Λαλείσθω τ' ἀναγκαῖα καὶ δι' ὀλίγον.
(Epictet.)

— Μήτι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγω.

(A. Pers. 698.)

Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι.

(Apollion, St.)

Τὸ βίαιον ὀλιγοχρόνιον.

(Philo.)

— Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς·
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
μήδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον·
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λαβέ·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

(Philem. Meinecke, v. IV, p. 37.)

Vide: *Aenigma:* Λέξω. — *Felicitas:* Τοῖσι. — *Locutio:* Παῖδες. — *Malum:* Βράχιστα. — *Vita:* Ὁ μὲν.

Caecitas.

. . . δῆλον ὁτίη καὶ τυφλῷ
γνῶναι δοκεῖ τοῦθ'.

(Ar. Plut. 48 sq.)

Εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως.

(S. Oed. R. 302.)

— Οἱ γὰρ βλέποντες τοὺς τυφλοῖς ἡγούμεθα.

(Ar. Plut. 15.)

— Ὅς ἐστι μὲν τυφλὸς,
κλέπτων τοὺς βλέποντας ὑπερηκόντικεν.

(Ar. Plut. 665 sq.)

Τίς γὰρ κατόπτρῳ καὶ τυφλῷ κοινωνία;

(Epicharm. Stob. XC. 8.)

Τυφλότερος ἀσπάλακος [λεβηρίδος].

(Prov.)

Vide: *Stultitia:* Μηδὲ τυφλὸν, Τυφλόν τι. — *Videre:* Ἀλλ' οὐδ'.

Caelebs, v. Solus.

Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι.

(Phocyl. Admon. 164.)

Caelum, Caelestus.

— Ὡς ἀλαζονεύεται μὲν ἀλιτήριος
περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει.

(Eupol. Meinecke, v. II, p. 490.)

— Περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια.

(Plato.)

Ποσταῖος πάρει ἀπὸ τοῦ οὐρανοῦ;

(Diog. Laërt. Or. II. 84.)

Vide: *Mors:* Αἱρῶ. — *Terra:* Οὐρανία.

Calamitas (cf. Miseria, Malum, Noxa).

Αἱ συμφοραὶ συστέλλουσι καὶ ποιοῦσι σωφρονεστέρους.

(Isocr. Orat. 8. Archid.)

Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ.

(Democrit. Sent. Aur. Stob. CVIII, 68.)

Τὸν σπουδαῖον ἄνδρα καθάπερ παλαιστὴν ἀγαθὸν δεῖ πρὸς τὴν ἀνταγωνιζομένην τύχην τὰ βάρη μεταφέρειν.

(Pythag. Demophil. 16, Or. I.)

Φεῦ, φεῦ, βρότειαι πημάτων ὅσαι τύχαι
ὅσαι τε μορφαί· τέρμα δ' οὐκ εἴποι τις ἄν.

(E. Fr. Antiope, XXXXI.)

Vide: *Mutatio:* Οὕτω. — *Pes:* Καλὸν δὲ. — *Tolerantia:* Ἀλλ' εὖ.

Calceus.

Ἀλλ' οὐδεὶς οἶδεν, ὅπου με θλίβει ὑπόδημα.

(Plutarch.)

Calcitrare, v. Stimulus.

. . . ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.

(E. Agam. 884 sq.)

Calumnia (cf. Sycophantia).

Αἰνίζειν μὲν ἄριστον· ὁ δὲ ψόγος ἔχθεος ἀρχή,
ἀλλὰ κακῶς εἰπεῖν Ἀττικόν ἐστι μέλι.

(Pallad. Anthol. XI, 341.)

Δεινὸν κακὸν ἡ διαβολία, ἐπεὶ οὐδὲ τιμωρία κατ' αὐτῆς γέγραπται ἐν τοῖς νόμοις.

(Hippias ap. Plutarch.)

. . . διαβολαὶ δεινὸν ἀνθρώποις κακὸν·
ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ
δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.

(E. Fr. Alexand. XIII.)

Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι.

(Thucydid. 6, 41, Stob. XLII, 9.)

Διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν εἰσιν οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος· ὁ μὲν γὰρ διαβάλλων ἀδικέει, οὐ παρεόντος κατηγορέων· ὁ δὲ ἀδικεῖ ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ. ὁ δὲ δὴ ἀπεὼν τοῦ τοῦ λόγου, τάδε ἐν αὐτοῖς ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι.

(Herodot. Hist. VII, 10, 7.)

Διαβολὴ γὰρ κακὸν τὸ ὀξύτατον καὶ ἐπιβουλότατον.

(Dion. Stob. XLII, 12.)

Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν κατεργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν, χρόνῳ δὲ πάντων ἀσθενεστέρα γίνεται.

(Demosthenes.)

Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχῦσαν ἀπεμαράνθη.

(Theophrast. Stob. XII, 19.)

Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

(Democrit. Ant. Max. Or. I, 118.)

Κακουργότερον οὐδὲν διαβολῆς ἔστι πω,
λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον,
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

(Cleanthes, Stob. XLII, 2.)

Ὅστις δὲ διαβολαῖσι πείθηται ταχὺ,
ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

(Men. incert. Meinecke, v. IV, p. 50.)

Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ
ψευδής· ἐπίσταντ' αὐξάνειν αὐτήν τινες,
δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχει.

(Men. Meinecke. v. IV, p. 51.)

Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον,
τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν
εἰς μέμψιν ἰδίαν αὐτὸν ἐπάναγκες λαβεῖν.

(Men. incert. Meinecke, v. IV, p. 289.)

Πολλοὶ δ' οὖν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν, ἢ τῶν πολεμίων.

(Rhegin. Stob. XLII, 11.)

Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται.

(Men. Monost.)

Candor.

Τὴν εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου.

(Aeschines.)

Canis.

Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾷος ᾖ, τὸν ἀδελφὸν δὲ οὔ.

(Sotion, Stob. LXXXIV, 18.)

Νόμος δὲ λείψαν' ἐκβάλλειν κυσίν.

(E. Fr. Kressae, X.)

Οὐδὲ κύων παύσεται, ἅπαξ σκυτοτραγεῖν μαθών.

(Lucian.)

Σαίνουσα δάκνεις καὶ κύων λαιθαργὸς εἶ.

(Eusth. ad Homer. 493, S. Fr. 902.)

Τὸ κυνὸς ὗς ἀπέτισεν.

(Prov.)

Cantus.

Καὶ Μοισᾶν ὄρνιχες ὅσαι ποτὶ Χῖον ἀοιδὸν
ἀντία κοκκύσδοντες ἐτώσια μοχθίσδοντι.

(Theocrit VII [III], 48.)

Κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχεν.

(Theocrit. VIII [I], 83.)

Captatio.

. . . γνῶθι δ' ὡς ἔχων ἔχει
καὶ σ' εἷλε θηρῶνθ' ἡ τύχη.

(S. Oed. Col. 1025 sq.)

Vide: *Audere:* Τολμήμασιν. — *Fuga:* Μὴ νῦν. — *Tempus:* Γέρων.

Caput.

Ὑπὲρ ἐπιζήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν.

(Ar. Chil. 531.)

Vide: *Corona:* Οὔτε.

Castigatio, v. Poena.

Castitas, v. Modestia (cf. Pudor).

Vide: *Pulchritudo:* Οὐδεμίαν.

Casus, v. Sors; Casus, Cadere.

Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.

(Prov.; Men. Monost. Meinecke, v. IV, p. 343.)

Τὰ πεσόντα μὴ ἀναίρεσθαι.

(Pythagoras.)

Vide: *Calcitrare:* Ὡς. — *Charybdis:* Τὴν χάρυβδιν. — *Vita:* Ὁ βίος.

Cautio, Cautus, Cavere (cf. Metus, Audacia).

— Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης.

(E. Phoen. 599.)

Ἕξεις καιρῷ εὐλάβειαν.

(Bias.)

Εὐηθία μοι φαίνεται δηλουμένη
τὸ νοεῖν μέν, ὅσα δεῖ, μὴ φυλάττεσθαι ἃ δεῖ.

(Men. incert. Cl. 204.)

Εὐλαβεῖσθε νῦν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον.

(Ar. Pax, 313.)

— Ἔχει δὲ τοὐμὸν οὐκ ἀναίδειαν, γέρον,
ἀλλ' εὐλάβειαν.

(E. Hercul. Fur. 165 sq.)

Ἡ δὲ εὐλάβεια καὶ τὸ »μηδὲν ἄγαν« ἄριστον.

(Plutarch. in Camillo.)

Ἡ γὰρ εὐλάβεια σώζει πάντα.

(Ar. Aves, 377.)

Vide: *Providentia:* Καὶ τοῦτο.

Celeritas, Velocitas (cf. Tarditas).

— Ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει.
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀκούουσιν σοφόν.

(E. Phoen. 452 sq.)

Ποδώκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται.

(A. Sept. Contr. Theb. 619.)

Πολλάκι καὶ φήμην ἔφθασεν ἡ ταχυτής.

(Anth. Pallad. X, 89.)

Τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν
εἰς συμφορὰν ἵστησι πολλὰ δὴ βροτούς.

(E. Fr. incert. 8.)

— Τὸ τοῦ ποδὸς μὲν βραδὺ, τὸ δὲ τοῦ νοῦ ταχύ.

(E. Ion, 742.)

Φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

(S. Oed. R. 617.)

Certus, v. Stabilitas (cf. Mutatio, Felicitas).

— Ἀφεὶς τὰ φανερὰ, μὴ δίωκε τἀφανῆ.

(Men. Monost., Meinecke, v. IV, p. 340.)

Νοῦς δέ γ' οὐ βέβαιος, ἄδικον κτῆμα κοὐ σαφὲς φίλοις.

(E. Iph. A. 33.)

Τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται.

(E. Fr. Phoen. V.)

— Τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.

(E. Fr. Oenom. VI.)

Cessio (cf. Oboedientia, Resistentia).

Ἄρχοντές εἰσιν ὥσθ' ὑπεικτέον· τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει.

(S. Aias, 668 sqq.)

— Ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται·
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.

(S. Antigone, 712 sqq.)

Character (cf. Indoles, Natura).

Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

(Men. Monost. Meinecke, v. IV, p. 341.)

Vide: *Homo:* Ὦ Ζεῦ.

Charybdis.

Τὴν χάρυβδιν ἐκφυγὼν τῇ Σκύλλῃ περιέπεσεν.

(Prov.)

Cibus (cf. Fames).

. . . νῦν δὴ μνησώμεθα δόρπου,
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου.

(Hom. Il. XXIV, 601 sq.)

Ὁ δ' ἀνὴρ, πρὶν ἂν φάγῃ καλῶς,
ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.

(S. Fr. 149.)

Οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.

(Achar. 77 sq.)

Οἱ μὲν ζῶσιν, ἵν' ἐσθίωσιν, οἱ δ' ἐσθίουσιν, ἵνα ζῶσιν.

(Socrates.)

Οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμητος σίτοιο δυνήσεται ἄντα μάχεσθαι.

(Hom. Il. XIX, 162 sq.)

Πολλὰ δ' ἐσθίων ἀνὴρ δάκνων τὰ χεῖλη παγγέλοιός ἐστιν ἰδεῖν.

(Athen. X, 417.)

. . . τεταρπόμενοι φίλον ἦτορ
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

(Hom. Il. IX, 705 sq.)

. . . τῆς δ' ἐφ' ἡμέραν βορᾶς
ἐς σμικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε χὠ πένης ἴσον φέρει.

(E. Electra, 430 sqq.)

Τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲ ἓν ἀγαθόν.

(Hegesipp. Meinecke, v. IV, p. 481.)

Vide: *Luctus:* Ἔσθιε.

Civitas (cf. Patria, Urbs), Civis.

Αἱ γὰρ πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία.

(E. Fr. Phrix. XII.)

Ἄνδρες πόλις καὶ οὐ τείχη, οὐδὲ νῆες ἀνδρῶν κεναί.

(Thucydides.)

Μοῖρα δέ τις καὶ πόλεων ἐστὶν ὥσπερ καὶ ἀνδρῶν.

(Appian.)

Οὐ λίθοις καὶ ξύλοις τειχίζεσθαι τὰς πόλεις, ταῖς δὲ τῶν ἐνοικούντων ἀρεταῖς.

(Agesilaos.)

Πόλις γὰρ οὐκ ἔσθ', ἥτις ἀνδρός ἐσθ' ἑνός.

(S. Antigone, 737.)

Clamor (cf. Strepitus, Sonus).

Δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν
ἐθέλειν δ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον.
(Achar. 352 sqq.)

Πολλῶν, ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
Εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
(S. Electra, 789 sq.)

Μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων.
(A Agam. 1672.)

Ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν.
(Ar. Equit. 312.)

Οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν μάθῃς.
(Ar. Plutus, 477.)

Σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
(Ar. Ranae, 859.)

Τὸ πρᾶγμα φανερόν ἐστιν,
αὐτὸ γὰρ βοᾷ.
(Ar. Vesp. 921 sq.)

Ὡς οὔποτ' εὕδει λυπρά σου κηρύγματα.
(E. Hecab. 657.)

Vide: *Alius:* Οἱ μὲν. — *Silentium:* Οὐκ οἶδ'.

Claritas, v. Honor, Gloria.

Clavis.

Vide: *Lingua:* Ἀλλ' ἐστὶ, Ὧν καὶ.

Clavus.

Ἥλῳ τὸν ἧλον ἐκκρούειν.
(Lucian.)

Clementia (cf. Bonitas).

Πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών.
(E. Fr. Erechth. XX.)

Vide: *Justitia*: Ἦ τ' ἄρα.

Cochlea.

Ὡς εὐφυὲς ζῶον (ὁ) κοχλίας, νὴ τὸν θεόν·
ὅταν πονηρῷ περιπέσῃ τῷ γείτονι,
τὸν οἶκον ἄρας εἰς ἕτερον πορεύεται,
νέμεται δ' ἀμέριμνος, τοὺς κακοὺς φεύγων ἀεί.
(Phil. incert., Meinecke, v. IV, p. 41.)

Coena, Epulum (cf. Cibus).

Vide: *Alienus:* Εὔτακτον. — *Amicitia:* Ἐπὶ τά. — *Luctus:* Αἰσχρόν.

Cogitatio (cf. Meditatio, Sapientia).

Τὸ γὰρ αὐτὸ νοεῖν ἐστί τε καὶ εἶναι.

(Parmenides; Clem. Alex. Str. VI, 749.)

Vide: *Silentium:* Σιγᾷς.

Cognatio, Consanguinitas.

Τὸ συγγενὲς γὰρ δεινὸν, ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

(E. Androm. 985 sq.)

Τὸ συγγενές γάρ δεινὸν ἥ θ' ὁμιλία.

(A. Prom. Vinct. 39.)

. . . τὸ τῇ φύσει
οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.

(E. Fr. incert. 178.)

Vide: *Contentio:* Δεινόν. — *Felicitas:* Τῶν εὐτυχούντων. — *Paupertas:* Ἔργον.

Commodum, v. Lucrum, Utilitas.

Communicatio, Communis.

Ἰσομοιρία τῶν κακῶν μετὰ πολλῶν κούφισιν ἔχει μεγίστην.

(Thucydides.)

Κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες [πολυπόνων ἀνδρῶν].

(E. Electra. 603.)

Τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.

(Men. Stob. CXXIV, 6.)

Comparatio.

Ἐχθροὺς ποιοῦσι τοὺς φίλους αἱ συγκρίσεις.

(Phil. Comp., Meinecke, v. IV, p. 40.)

Ῥόδον ἀνεμώνῃ συγκρίνεις;

(Prov.)

Compassio, v. Sympathia, Misericordia.

Compingere.

Γομφούμενα τὰ πάντα καὶ κολλώμενα.

(Ar. Equit. 436.)

Conatus.

Ἔρωτες ἡμῖν εἰσι παντοῖοι βίου.
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν,

τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.

(E. Fr. Rhadam. I.)

Concordia.

Οὐ χρυσὸς ἀγλαὸς, οὐδ' ἀδάμας οὕτως ἀστράπτει πρὸς ὄψιν, ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

(Plato, Epist. ad Dionys.)

Ὡς ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως.

(Men. Meinecke, v. IV, p. 290.)

Condolentia, v. Sympathia.

Confessio, v. Denegatio.

Confidentia, v. Fiducia, Fides.

Conscientia.

Ἀγαθὴ συνείδησις ἐλευθερία ἐστίν.

(Periander, Stob. XXIV, 12.)

Βροντῆς ἀκούσας μηδαμῶς πόῤῥω φύγῃς
μηδὲν συνειδὼς αὐτὸς αὑτῷ.

(Men. Cl. 268.)

Ἢ δεινὸν ἄρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν
αὑτῷ συνειδῇ.

(S. Fr. 669.)

Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λήσῃς [λάθῃς], σαυτῷ συνειδήσεις.

(Isocr. ad Demon. 5.)

Ὁ δυσσεβῶν τι καὶ δοκῶν λαθεῖν θεὸν,
κολάζεθ' οὗτος ὑπὸ συνειδότος θεοῦ.

(Gnom. Men. Meinecke, v. IV, p. 336.)

Οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες ἀταράχως ζῶσιν.

(Socrates, Stob. XXIV, 13.)

Ὁ μὴ κολασθεὶς τῷ νόμῳ πράξας καλῶς,
αὐτὸς ἀφ' ἑαυτοῦ τῷ νόμῳ κολάζεται.

(Gn. Men. Meinecke, v. IV, p. 336.)

Ὅστις γὰρ αὐτὸς οὐχ' αὑτὸν αἰσχύνεται
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

(Diphil. incert.. Meinecke, v. IV, p. 421.)

Ὁ συνιστορῶν αὑτῷ τι, κἂν ᾖ θρασύτατος,
ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ.

(Men. incert. Cl. 216.)

Πᾶς ἁγνός ἐσθ' ὁ μηδὲ ἓν συνιδὼν κακὸν αὑτῷ.

(Men. Cl. 120.)

Τὸ μὴ συνειδέναι γὰρ αὑτῷ τῷ βίῳ
ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

(Antiphan., Meinecke, v. III, p. 149.)

Consensus.

Εἰ πᾶσι ταὐτὸν καλὸν ἔφυ σοφόν θ' ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
νῦν δ' αὔθ' ὅμοιον οὐδὲν οὔτ' ἴσον βροτοῖς
πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἐστιν τόδε.

(E. Phoen. 499 sqq.)

Consilium, v. Prudentia, Mens, Sententia (cf. Robur, Vis).

— Ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς,
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπί σοι τάδε πάντ' ἀνάκειται.

(Ar. Aves, 639 sq.)

. . . ἄνευ γνώμης γὰρ οὐ χρὴ λέγειν.

(S. Oed. Col. 498.)

Βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.

(A. Prom. Vinct. 619.)

Βουλεύου δὲ πρὸ τοῦ ἔργου, ὅπως μὴ μῶρα πέληται.

(Pythagor. Sent. Aur. 27.)

Βουλεύου δὶς καὶ τρὶς, ὅ τοι ἐπὶ τὸν νόον ἔλθῃ,
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

(Theognis, 633 sq.)

Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

(Isocrates.)

Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

(S. Electra, 1047.)

— Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

(S. Fr. 676.)

Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος· εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία μεῖζον κακόν.

(E. Fr. Antiop. XXXI.)

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἄριστον
ἀνθρώποις· γνώμη πείρατα παντὸς ἔχει.

(Theognis, 1171 sq.)

Γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα.

(A. Eumenid. 750.)

— Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ὀδυνηρότερον.

(Theognis, 895 sq.)

Δίδασκ'· ἄνευ γνώμης οὐ χρὴ λέγειν.

(S. Oed. Col. 594.)

Εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.

(Hom. Il. I. 144.)

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα,
αἰὲν ἐφελκομένη, τὴν μετάνοιαν ἔχει.

(Lucian. Sam., Anth. X, 37.)

Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

(Hes. Op. 264.)

Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.

(Comici.)

Μήτε τυφλὸν ὁδηγὸν, μήτε ἀνόητον σύμβουλον.

(Prov.)

Ὅπερ δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλεις τινὶ βουλεύεσθαι, σκόπει πρῶτον, ὡς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

(Isocr. Dem. 10.)

Ὃς μὴ πέπονθε τἀμὰ μὴ βουλευέτω.

(S. Fr. 750.)

— . . . οὐ μόνον βουλεύματ',
ἀλλ' ἔργα δρῶμεν οὐκ ἔτ' ἐξαργούμενα.

(S. Philoctet. 556 sq.)

— Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλεῖον τοὺς ἔχοντας ἔβλαψεν.

(Isocr. ad Demon.)

— Τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.

(A. Agam. 1359.)

Φρένες γὰρ αὐτοῦ θυμὸν ῥακοστρόφουν.

(A. Pers. 773.)

Ὦ μάκαρ, ὅστις δή μιν [sc. βουλὴν] ἔχει φρεσίν, ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἐστίν.

(Theognis, 1173 sqq.)

Vide: *Demosthenes:* Εἴπερ.

Consolatio (cf. Hortatio, Condolentia).

Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον.

(Sotion, Stob. CXIII, 15.)

Vide: *Amicitia:* Ἀγαθὴ, Λυπουμένῳ, Οὐκ ἔστι λύπης. — *Misericordia:* Μηδὲ.

Constantia (cf. Perseverantia, * Inconstantia).

* Εὐμεταβολώτερος κοθόρνου.

(Prov.)

. . . πάντα γὰρ
ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα.

(Men. incert. Meinecke. v. IV. p. 276.)

Πᾶς ἁγνός ἐσθ' ὁ μηδὲ ἓν συνιδὼν κακὸν αὑτῷ.

(Men. Cl. 120.)

Τὸ μὴ συνειδέναι γὰρ αὑτῷ τῷ βίῳ
ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

(Antiphan., Meinecke, v. III p. 149)

Consensus.

Εἰ πᾶσι ταὐτὸν καλὸν ἔφυ σοφόν θ' ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
νῦν δ' αὔθ' ὅμοιον οὐδὲν οὔτ' ἴσον βροτοῖς
πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.

(E. Phoen. 499 sqq.)

Consilium, v. Prudentia, Mens, Sententia (cf. Robur, Vis).

— Ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς,
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπί σοι τάδε πάντ' ἀνάκειται.

(Ar. Aves, 639 sq.)

. . . ἄνευ γνώμης γὰρ οὐ χρὴ λέγειν.

(S. Oed. Col. 498.)

Βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.

(A. Prom. Vinct. 619.)

Βουλεύου δὲ πρὸ τοῦ ἔργου, ὅπως μὴ μῶρα πέληται.

(Pythagor. Sent. Aur. 27.)

Βουλεύου δὶς καὶ τρίς, ὅ τοι ἐπὶ τὸν νόον ἔλθῃ,
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

(Theognis, 633 sq.)

Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

(Isocrates.)

Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

(S. Electra, 1047.)

— Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

(S. Fr. 676.)

Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος· εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία μεῖζον κακόν.

(E. Fr. Antiop. XXXI.)

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἄριστον
ἀνθρώποις· γνώμῃ πείρατα παντὸς ἔχει.

(Theognis, 1171 sq.)

Γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα.

(A. Eumenid. 750.)

— Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ὀδυνηρότερον.

(Theognis, 895 sq.)

Δίδασκ'· ἄνευ γνώμης οὐ χρὴ λέγειν.

(S. Oed. Col. 594.)

Εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.

(Hom. Il. I. 144.)

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων.· ἡ δὲ ταχεῖα,
αἰὲν ἐφελκομένη, τὴν μετάνοιαν ἔχει.

(Lucian. Sam., Anth. X. 37.)

Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

(Hes. Op. 264.)

Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.

(Comici.)

Μήτε τυφλὸν ὁδηγὸν, μήτε ἀνόητον σύμβουλον.

(Prov.)

Ὅπερ δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλεις τινὶ βουλεύεσθαι, σκόπει πρῶτον, ὡς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

(Isocr. Dem. 10.)

Ὃς μὴ πέπονθε τἀμὰ μὴ βουλευέτω.

(S. Fr. 750.)

— . . . οὐ μόνον βουλεύματ',
ἀλλ' ἔργα δρῶμεν οὐκ ἔτ' ἐξαργούμενα.

(S. Philoctet. 556 sq.)

— Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλεῖον τοὺς ἔχοντας ἔβλαψεν.

(Isocr. ad Demon.)

— Τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.

(A. Agam. 1359.)

Φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.

(A. Pers. 773.)

Ὦ μάκαρ, ὅστις δή μιν [sc. βουλὴν] ἔχει φρεσὶν, ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἐστίν.

(Theognis, 1173 sqq.)

Vide: *Demosthenes:* Εἴπερ.

Consolatio (cf. Hortatio, Condolentia).

Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον.

(Sotion, Stob. CXIII, 15.)

Vide: *Amicitia:* Ἀγαθῇ, Λυπουμένῳ, Οὐκ ἔστι λύπης. — *Misericordia:* Μηδὲ.

Constantia (cf. Perseverantia, * Inconstantia).

* Εὐμεταβολώτερος κοθόρνου.

(Prov.)

. . . πάντα γὰρ
ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα.

(Men. incert. Meinecke. v. IV. p. 276.)

Consuetudo (cf. Exercitatio, Mos).

Ἀλλὰ τὸ ἔθος οὐ μικρόν.

(Solon.)

Δένδρον παλαιὸν μεταφυτεύειν οὐ ῥᾴδιον.

(Phil. Comp. Cl. 366.)

Ἔργον ἐστὶν, Φαίδιμε,
μακρὰν συνήθειαν
βραχεῖ λῦσαι χρόνῳ.

(Men. incert. Meinecke, v. IV, p. 277.)

Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.

(Men. Monost. Meinecke, v. IV, p. 345.)

Οἴμοι τάλας, ὡς ἄδικον, ὅταν ἡ μὲν τύχη
λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένει.

(Antiphanes, Stob. CVII, 5.)

*—*Τὰ καινὰ ἐκ τῶν ἠθάδων ἥδιόν ἐστιν.

(E. Cycl. 249.)

Τὸ γὰρ συνηθὲς οὐδαμοῦ παροπτέον.

(Men. Meinecke, v. IV, p. 85.)

. . . τρία γάρ ἐστι, δέσποτα,
δι' ὧν ἅπαντα γίνεται, ἢ κατὰ νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ τρίτον γ' ἔθει τινί.

(Men. Cl. 60.)

Contentio (cf. Lis).

Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους
μάχας θ' ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.

(E. Iphig. A. 376 sq.)

Continentia, v. Frugalitas.

Contradictio.

Καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.

(Ar. Nub. 321.)

Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν.

(Antisthenes, Stob. LXXXII, 8.)

Οὔτις τοι τὸν μῦθον ὀνόσσεται . . .
οὐδὲ πάλιν ἐρέει.

(Hom. Il. 55 sq.)

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς, ὁ παλαιὸς,
σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε.

(Euenus, Stob. LXXXII, 3.)

Πολλῶν πάροιθε καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.

(A. Agam. 1372 sq.)

Contumacia, v. Arrogantia.

Contumelia (cf. Ignominia, Infamia).

Εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσι·
κακῶν δὲ καἰσχρῶν οὔ τιν' εὔκλειαν ἐρεῖς.

(A. Sept. Contr. Theb. 683 sqq.)

Οὐκ ἔστιν οὐδὲν πῆμ' ἐλευθέρου δάκνον
ψυχὴν τοσοῦτον ἀνδρὸς, ὡς ἀτιμία.

(A. Fr.)

Convictio.

Ἔργα δὲ χεῖρας ἐλέγχει.

(Prov.)

Convicium, v. Vituperatio.

Copia, v. Abundantia.

Coquus.

. . . οὐ δὲ εἷς
μάγειρον ἀδικήσας ἀθῷος διέφυγεν
ἱεροπρεπὴς πώς ἐστιν ἡμῶν ἡ τέχνη.

(Men. Moros. Meinecke, v. IV, p. 108.)

Cor, v. Pectus, Animus, Mens.

Χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.

(S. Aias, 937.)

Vide: *Mos:* Μὴ χρώμασιν. — *Sanitas:* Ἀκεσταί.

Corona.

Οὔτε διάδημα κεφαλαλγίας ἀπαλλάσσεται.

(Plutarch.)

Corpus (cf. Anima, Mens, Spiritus).

— Σῶμα πάθος ψυχῆς, Ἅιδης, μοῖρ', ἄχθος, ἀνάγκη
 καὶ δεσμὸς κρατερὸς καὶ κόλασις βασάνων,
ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
 τοῦ θανάτου φεύγει πρὸς θεὸν ἀθάνατον.

(Pallad. Anth. X, 88.)

— Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκεν.

(Isocrates.)

Τοῦτο τὸ σωμάτιον οὐκ ἔστι σόν, ἀλλὰ πηλὸς κομψῶς πεφυραμένος.
(Arrhian.)

Cras (cf. Hodie, Futurum).

. . . Οὐ γάρ ἐστ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.
(S. Trach. 947 sq.)

Credere, v. Fides.

Cretes.

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.
(Epimen. Tit. 1—12.)

Κρὴς πρὸς Αἰγύπτην.
(Prov.)

Croesus.

Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐξελθὼν ἐπρίατο.
(Prov.)

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.
(Oraculum.)

Criticus.

Τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα.
(S. Fr. 752.)

Culpa, v. Ate, Peccatum.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.
(Theognis, 1185 sq.)

Cunctatio, v. Mora, Dilatio.

Cupiditas (cf. Lucrum, Passio, Avaritia).

Αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἆλλα τὴν ψυχήν.
(Democrit. Sent. Aur. Or. I, 84.)

Δουλεύειν πάθεσι χαλεπώτερον ἢ τυράννοις.
(Pythagoras.)

Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.
(Democrit. Stob. LXXXXVII, 24.)

Μᾶλλον γὰρ δεῖ τὰς ἐπιθυμίας ὁμαλίζειν ἢ τὰς οὐσίας.
(Aristoteles.)

Μέζονες γὰρ ὀρέξεις μέζονας ἐνδείας ποιεῦσιν.
(Democritus.)

Μηδὲ βελόνης ἔναμμ' ἐπιθυμήσῃς, Πάμφιλε,
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρόν.
(Men. Cl. 268.)

. . . Μηδὲ βελόνης,
ὦ φίλτατ', ἐπιθύμησον ἀλλοτρίας ποτέ.
ὁ γὰρ θεός γ' ἔργοις δικαίοις ἥδεται.

(Men. Cl. 268.)

Ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

(Anacr. 36.)

Οὗτος ὄντως πλούσιος, ὃς τῶν ἐπιθυμιῶν πένης.

(Socrat. Stob. XVII, 31.)

Σμικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενέα πλούτῳ ποιέει.

(Democrit. Stob. LXXXXVII, 25.)

Ὡς ἐπὶ πᾶν γὰρ τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίρροια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησιν.

(Diod. Sicul. I, 2.)

Cura (cf. Dolor, Aerumnae, Labor, Industria).

Μέθετέ με, φροντίδες,
μηδέ μοι καὶ ὑμῖν ἔστω,
πρὶν ἐμὲ φθάσῃ τὸ τέρμα.

(Anacr. 24.)

Οὐ γὰρ τὸ μὴ πράττειν κατὰ νοῦν ἔχει μόνον
λύπην, παρέχει δὲ φροντίδας καὶ τἀγαθά.

(Men. incert. Cl. 216.)

. . . οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίναισιν κακαὶ παρέχοντι μέριμναι.

(Theocrit. XI, 3.)

Τὰν σαυτῶ φρένα τέρψον, ὀΐζυον οὐδὲν ἀρέσκει.

(Theocrit. XXVII [XXIV]. 13.)

Τί μοι πόνων; τί μοι γόων;
τί μοι μέλει μεριμνῶν;

(Anacr. 25.)

Custodia.

. . . κύων μελετήσας
σαρκῶν ἄπο γεύεσθαι, φυλάττειν οὐκέτ' ἂν
δύναιτο τὴν ἀγέλην.

(Antiphanes, Meinecke, v. III, p. 160.)

Deceptio (cf. Dolus).

. . . ἀπάτα δ' ἀπά-
ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
να πόνων, οὐ χάριν ἀντιδίδωσιν ἔ-
χειν·

(S. Oed. Col. 230 sqq.)

Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

(A. Fr. 278.)

Οἱ ἀγαθοὶ εὐαπάτητοι.

(Bias ap. Diog. Laërt.)

Ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός.

(A. Fr. 273.)

Decus.

Ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα.

(Gesner. Gnomol. Stob. I, 40.)

—. . . ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν.

(Hom. Il. III, 59.)

Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον.

(Hom. Il. II, 212 sq.)

— Οὐ κόσμος, οὐκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν.

(S. Fr. 726.)

Πῶς ἐπεφώνησας, πῶς οὐ κατὰ κόσμον ἔειπες;

(Ilias Parva.)

Defatigatio.

Οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά.

(A. Eumenid. 881.)

. . . τί δῆτα δεῖ σε κάμνειν; κατθανεῖν
ἄμεινον· οὐδεὶς κάματος εὐσεβεῖν θεούς.

(E. Fr. Palam. XI.)

Defensio (cf. Auxilium).

Εἴπερ τὸν ἀδικοῦντ' ἀσμένως ἠμύνετο
ἕκαστος ἡμῶν, καὶ συνηγωνίζετο,
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονὸς
ἀδίκημα καὶ συνέπραττον ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν ηὔξατο
τὸ τῶν πονηρῶν.

(Men. Fratr. Meinecke. v. IV, p. 337.)

Deformitas (cf. Pulchritudo).

— Τῶν πιθήκων εὐμορφότατος δύσμορφός ἐστιν.

(Hercul. ap. Platon.)

Deliciae, v. Voluptas.

Demosthenes.

Εἴπερ ἴσον ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
οὔποτ' ἂρ' Ἑλλήνων ἦρχεν Ἄρης Μακεδών.

(Plutarch. Demosthenis Epitaph.)

Denuo (cf. Iterum, Rursum).

Πάλιν πάλιν παλαιὸν ἄλγημ' ὑπέμνασας.

(S. Philoctet. 1170.)

Desertum.

Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία.

(Men. Cl. 178.)

Desperatio (cf. Fiducia, Spes).

Ἔρημός ἐστ' ἄνθρωπος ἠπορημένος.

(Meinecke, Fr. incert. v. IV, p. 692.)

Οὐδὲν ἀλκιμώτερον τῆς ἀπογνώσεως.

(Josephus Flavius, 19.)

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

(Apollodor. Stob. CX, 2.)

Οὐ τοῖς ἀθύμοις ἡ τύχη συλλαμβάνει.

(S. Fr. 666.)

Ὥστε μηδεὶς πρὸς τῶν θεῶν
πράττων κακῶς λίαν ἀθυμήσῃ ποτέ,
ἴσως γὰρ ἀγαθοῦ τοῦτο πρόφασις γίνεται.

(Men. Cl. 216.)

Destinatio, v. Fatum.

Deus, Dii, Divinitas.

* Dei justitia (cf. Nemesis, Poena). — †Deus, quem perdere vult, dementat.

* Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

* . . . ἀεί ποτε
χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ' οὐκ ἀσθενῆ.

(E. Ion, 1614 sq.)

Ἀλλ' ἀεί γε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν.

(Hom. Il. XVI, 688.)

— Ἀλλὰ θεός τοι καὶ θεογενής
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς
καίτοι φθιμένῳ τοῖς ἰσοθέοις
ἔγκληρα λαχεῖν μέγ' ἀκοῦσαι.

(S. Antigone, 834 sqq.)

. . . ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται.

(Hom. Od. III, 26 sq.)

† Ἀλλ' εἰ δή ῥα τότ' ἔβλαπτε φρένας εὐρυόπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.

(Hom. Il. XV, 724 sq.)

Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.

(Hom. Od. I, 267.)

Ἀλλ᾽ ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
ζητεῖ· τὸ γαῦρον δ᾽ ἐν φρεσὶν κεκτημένοι
δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.

(E. Suppl. 216.)

— Ἀλλ᾽ ὅταν σπεύδῃ τις αὐτὸς, χὡ θεὸς συνάπτεται.

(A. Pers. 742.)

Ἀλλ᾽ οὐ γὰρ τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἄν, οὐδ᾽ εἰ πάντ᾽ ἀπεξέλθοις σκοπῶν.

(S. Fr. 659.)

Ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε, καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πείθου τε καὶ γενέσθω.

(A. Suppl. 524 sqq.)

Ἂν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν
οὐκ ὄντα κεκτήμεσθα τἀγάθ᾽, ὦ γύναι,
ἃ δ᾽ ἂν διδῶσ᾽ ἑκόντες ὠφελούμεθα.

(E. Ion. 378 sqq.)

Ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν,
ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

(A. Fr. 358.)

Ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει.

(Men. Monost. Stob. Ecl.)

Ἄνευ θεῶν ἀρετὴν οὔτις ἔλαβεν.

(Simonides.)

Ἄνεχε χέρας, ἄνεχε λόγον,
ἵει λιτὰς εἰς θεούς.

(E. Electra, 593 sq.)

— . . . ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο
οὐδὲ μάλ᾽ ἴφθιμος· ἐπειὴ πολὺ φέρτατός ἐστιν.

(Hom. Il. VIII. 143 sq.)

* Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας,
οὐ λήσεις δὲ θεοὺς, οὐδὲ λογιζόμενος.

(Lucian. Sam. Anth. X. 27.)

. . . ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ᾽ ἀναγκαῖον φέρειν.

(S. Philoctet. 1316 sq.)

Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται.

(Men. Stob. Ecl. I. 111.)

Ἀπὸ τῶν θεῶν ἀρχὴ ποιεῖσθαι πρέπον.

(Theodect. Stob. Ecl. I, 81.)

Ἀρετάν γε μὲν ἐκ Διὸς αὐτεῦ.

(Theocrit. Idyl. XVII [XVI]. 137.)

Ἀρχὴν νόμιζε τὸν θεὸν φοβεῖσθαι.

(Men. Monost. Meinecke. v. IV, p. 341.)

Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
ποίησ᾽.

(Hom. Od. XIV, 274 sq.)

Αὐτός τι νῦν δρᾷ· χοὔτω δαίμονας κάλει·
τῷ γὰρ πονοῦντι χὼ θεὸς συλλαμβάνει.

(E. Fr. Temenos, III.)

Βούλου κρατεῖν μέν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.

(S. Aias, 765.)

— Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

(E. Fr. Alcmaeon. XIII.)

Γεννᾷ τὸ θεῖον εὐτυχῆ διὰ ῥήματος.

(Men. Monost. Stob. Ecl. I, III, 18.)

Δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.

(Pallad. Anth. X, 91.)

. . . δεινὸς, ὃς θεοὺς σέβει.

(A Sept. Contr. Theb. 596.)

Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἐστ' ὄντως θεὸς,
οὐδενός.

(Prov.)

Δῆλα μὲν, φίλοι, δῆλά γ', ἀλλ' ὅμως
θεοῖσιν εὐχώμεσθα· θεῶν δύναμις μεγίστα.

(E. Alcest. 218 sq.)

. . . Διὸς γὰρ δυσπαραίτητοι φρένες.

(A. Prom. Vinct. 34.)

* Δοκεῖς τὰ τῶν θεῶν συνετὰ νικήσειν ποτὲ
καὶ τὴν δίκην που μακρὰν ἀποκεῖσθαι βροτῶν,
ἡ δ' ἔστιν ἐγγύς· οὐχ ὁρωμένη δ' ὁρᾷ.

(E. Fr. Archil. XXXIX.)

* Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτὰ, Ζῆνα δ' εἰσορῶντά νιν
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς,
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας,
ἐξαρκέσειεν, οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν, ἀλλ' ἡ δίκη
ἐνταῦθά πού 'στιν ἐγγὺς, εἰ βούλεσθ' ὁρᾶν.
ταύτας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ
τίσεις διδοῦσιν, οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ
οὔ σφιν πονηρόν ἐστιν.

(E. Fr. Mel. Des. XII.)

Δυσδαίμων, ἄθλιος δὲ,
ὃς τάδε λεύσσων, θεὸν οὐχὶ νοεῖ.

(E. Fr. incert. 106.)

* Δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.

(Solon, VII, 64.)

*Ἐγὼ μὲν, εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν
πίπτοντας, εἶναί φημι δαιμόνων γένος.

(E. Fr. Oenom VII [T].)

*Εἰ γὰρ δίκαιος κἀσεβὴς ἕξουσιν ἕν,
ἡ γῆ δὲ καλύψει τοὺς δύο τῷ παντὶ χρόνῳ,
ἅρπαζ' ἀπελθών, κλέπτ', ἀποστέρει, κύκα.
μηδὲν πλανηθῇς· ἐστὶ κἀν ᾅδου κρίσις,
ἥνπερ ποιήσει θεὸς, ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φοβερὸν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγὼ,
ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίον
δίδωσι.

(Phil. Cl. 362.)

Εἰ δὲ θεοῖς ἦν ξύνεσις καὶ σοφία κατ' ἄνδρας,
δίδυμον ἂν ἥβαν ἔφερον,
φανερὸν χαρακτῆρ'
ἀρετᾶς, ὅσοισιν
μέτα, καὶ θανόντες
εἰς αὐγὰς πάλιν ἁλίου
δισσοὺς ἂν ἔβαν διαύλους,
ἁ δυσγένεια δ' ἁπλᾶν ἂν
εἶχε ῥόας βιοτὰν,
καὶ τῷδ' ἦν τούς τε κακοὺς ἂν
γνῶναι καὶ τοὺς ἀγαθοὺς,
ἴσον ἅτ' ἐν νεφέλαισιν ἄ-
στρων ναύταις ἀριθμὸς πέλει.

(E. Hercul. Fur. 655 sqq.)

. . . εἰ δὲ θεὸν
ἀνήρ τις ἔλπεταί τι λασέ-
μεν ἔρδων, ἁμαρτάνει.

(Pind. Olymp. I, 130 sqq.)

Εἰ δ' εἰσὶ θεοὶ, δίκαιος ὢν ἀνὴρ σύγε
ἐσθλῶν κυρήσεις· εἰ δὲ μὴ, τί δεῖ πονεῖν;

* (E. Iphig. A. 1034 sq.)

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε,
αὐτοὶ γὰρ τούτους ηὐξήσατε, ῥύσια δόντες.

(Solon.)

Εἰ δ' ἔστιν, ὅστις δαιμόνων ὑπερφρονεῖ,
ἐς τόνδ' ἀθρήσας θάνατον ἡγείσθω θεούς.

(Ar. Bacch. 1326 sq.)

. . . εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.

(Hom. Od. XVII, 484.)

Εἰ θείη Διὸς εὖ παναληθῶς,
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη.
πάντα τοι φλεγέθει

κἀν σκότῳ, μελαίνᾳ σὺν τύχᾳ
μερόπεσσι λαοῖς.
πίπτει δ' ἀσφαλὲς, οὐδ' ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς, εἰ κρανθῇ πρᾶγμα τέλειον.

(A. Suppl. 85 sqq.)

Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί.

(E. Fr. Belleroph. XXIII.)

Εἰ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμ' ἐν ἀνθρώποις τανῦν.

(E. Medea, 493 sq.)

Εἰ μάλα καρτερός ἐσσι, θεός πού σοι τό γ' ἔδωκεν.

(Hom. Il. I, 178.)

Εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν.

(A. Sept. Contr. Theb. 4.)

* Εἴ περ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν,
σὺν σφῇσιν κεφαλῇσι, γυναιξί τε καὶ τεκέεσσιν.

(Hom. Il. IV, 160 sqq.)

Εἷς ἐστ' αὐτογενὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται,
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται· οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν· αὐτὸς δέ γε πάνθ' ὁράαται.

(Orph. I, 6.)

. . . εἴ τις ἀργὸς ὢν θεοῖς
εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον
τὰ θεῖα πυργοῦσ', αἱ κακαί τε συμφοραί.

(E. Fr. Belleroph. XXI.)

Εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ.

(Ar. Plut. 45.)

† Ἐκ γὰρ σφέων φρένας εἵλετο Παλλὰς Ἀθήνη.

(Hom. Il. XVIII, 311.)

† Ἐκ γάρ τοι φρένας εἵλετο μητιέτα Ζεύς.

(Hom. Il. IX, 377.)

. . . Ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

(Eratosth., Stob. XVIII, 3.)

Ἐκ δὲ Διὸς βασιλῆες.

(Callimach.)

Ἐκ Διὸς ἀρχώμεσθα καὶ εἰς Δία λήγετε, Μοῖσαι.

(Theocrit. XVII [XVI], 1.)

Ἓν δεῖ μόνον μοι, τοὺς θεοὺς ἔχειν, ὅσοι
δίκην σέβονται· ταῦτα γὰρ ξυνόνθ' ὁμοῦ
νίκην δίδωσιν. ἀρετὴ δ' οὐδὲν φέρει
βροτοῖσιν, ἢν μὴ τὸν θεὸν χρῄζοντ' ἔχῃ.

(E. Suppl. 594 sqq.)

† Ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.

(Hom. Il. VII, 360.)

Ἐπίσταμαι δὲ καὶ τάδ᾽, οὖσά περ γυνή,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον εἴσεται.

(Iophon. Stob. Ecl. II, I, 9.)

Ἐστὶ θεοῖς δ᾽ ἔτ᾽ ἰσχὺς καθυπερτέρα·
πολλάκι δ᾽ ἐν κακοῖσι τὸν ἀμήχανον
κὰκ χαλεπᾶς δύας ὕπερθ᾽ ὀμμάτων
κρεμαμενᾶν νεφελᾶν ὀρθοῖ.

(A Sept. Contr. Theb 226 sq.)

Εὗρε θεὸς τὸν ἀλιτρόν.

(Theocrit. X [II], 17.)

† Εὖ φρονεῖς μὲν, ἤ σ᾽ ἔμηνε θεοῦ τις, ὦ ξένε, βλάβη.

(E. Ion, 520.)

Ζεὺς δ᾽ ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ἠδ᾽ ὅσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες.

(Orph. Fr. 9.)

Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ᾽ οὐρανὸς,
Ζεύς τοι τὰ πάντα, χὤτι τῶνδ᾽ ὑπέρτερον.

(A. Fr. 295.)

Ζεύς μοι σύμμαχος, οὐ φοβοῦμαι·
Ζεύς μοι χάριν ἐνδίκως
ἔχει.

(E. Heraclid. 766 sqq.)

Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν·
τὸν φρονεῖν βροτοὺς ὁδώ-
σαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.

(A. Agam. 174 sqq.)

Ἢν πιστεύῃ τις θεοὺς ἐπισκοπεύειν πάντα, οὔτε λάθρῃ οὔτε φανερῶς ἁμαρτήσεται.

(Democrit. Sent. Aur. 80, Or. I.)

Ἦ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι;

(E. Orest. 697 sq.)

Θάρσει μοι, θάρσει, τέκνον,
ἔτι μέγας οὐρανῷ
Ζεὺς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει.

(S. Electra, 174 sqq.)

Θάρσει· τάχ᾽ ἂν γένοιτο· πολλά τοι θεοῖς
κὰκ τῶν ἀέλπτων εὔπορ᾽ ἀνθρώποις πέλει.

(E. Fr. Alcmene, 12.)

Θείᾳ προνοίᾳ πάντ᾽ ἐγέννησεν φύσις.

(Men. Monost. Stob Ecl. I, III, 13.)

Θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τράπῃ.

(S. Oed. Col. 1536 sq.)

. . . θεοὶ δέ τε πάντα ἴσασιν.

(Hom. Od. IV, 468.)

Θεοῖς ἀρέσκου, πᾶν γὰρ ἐκ θεῶν τέλος.

(E. Fr. Orio, 218. Anthol.)

. . . Θεοῖς γὰρ ἦν οὕτω φίλον.

(S. Oed. Col. 964.)

. . . Θεοῖς γὰρ ὧδ' ἔδοξέ που.

(S. Aias, 489.)

Θεοῖς εὔχου, θεοῖσιν γὰρ ἔπι κράτος· οὔτοι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις οὔτ' ἀγάθ', οὔτε κακά.

(Theognis, 171 sq.)

Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
πλεῖον γὰρ οὐδὲν ἄλλο ἢ ζητεῖν ἔχεις.
εἴ τ' ἔστιν, εἴ τ' οὐκ ἐστιν, μὴ βούλου μαθεῖν,
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

(Phil. incert. Cl. 340.)

A. Θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον;
B. τὸν πάνθ' ὁρῶντα, καὐτὸν οὐχ' ὁρώμενον.

(Phil. Cl. 360.)

. . . Θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει
ὅ, ττι κεν ᾧ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα.

(Hom. Od. XIV, 444 sq.)

Θεὸς ἐμὸς ἄρχων, θνητῶν οὐδὲ εἷς.

(S. Fr. 769.)

† Θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.

(A. Fr. 151.)

Θεὸς ὁ καὶ πτερόεντα
ἀετὸν κίχεν καὶ θαλασσαῖ-
ον παραμείβεται
δελφῖνα· καὶ ὑψιφρόνων τίν' ἔκαμψε
βροτῶν, ἑτέροισι δὲ
κῦδος ἀγήραον παρέδωκ'.

(Pind. Pyth. II, 90 sqq.)

Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως.

(Men. Monost. Meinecke, v. IV, p. 346.)

Θεοῦ δὲ δῶρόν ἐστιν, εὐτυχεῖν βροτούς.

(A. Sept. Contr. Theb. 625.)

Θεοῦ δὲ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
διδοῦσι φεύγειν μηδέν, ὦ τέκνον, ποτέ.

(S. Fr. 749.)

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

(S. Fr. 656.)

Θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέοις.

(E. Fr. Simonid.)

Θεοῦ καὶ ὁ καλὸς οὗτος κόσμος σκιὰ καὶ εἰκών.

(Plotinus de Providentia.)

Θεοῦ μὲν ἐκτὸς οὐδεὶς εὐτυχεῖ βροτῶν.

(E. Fr. Scyr. II.)

. . . Θεῶν δ' ἀέκητι τέτυκτο
ἀθανάτων, τὸ καὶ οὔτι πολὺν χρόνον ἔμπεδον ἦεν.

(Hom. Il. XII, 8 sq.)

. . . Θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.

(Theognis, 1023 sq.)

Θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί.

(Stob. Ecl.)

* Ἰάπτει δ' ἀπιδῶν
ἀφ' ὑψιπύργων πανώλεις,
βίαν δ' οὔτιν' ἐξοπλίζει
τὰν ἄποινον δαιμονίων.

(A. Suppl. 95 sqq.)

Κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;

(A. Eumenid. 826.)

Καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή.
ἴσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι.

(Aristarch.)

A. Καὶ ποῦ 'στιν; οὐ γὰρ φανερὸς ὄμμασιν γ' ἐμοῖς;
B. παρ' ἐμοί· σὺ δ' ἀσεβὴς αὐτὸν ὢν οὐκ εἰσορᾷς.

(E. Bacch. 501 sq.)

Καλούμενός τε κἄκλητος θεὸς παρέσται.

(Prov.)

Κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς,
ἀλλὰ φόβων πίστις ἅδε πρῶτα.

(E. Suppl. 626 sq.)

— Κρίνειν οὐκ ἐπέοικε θεήϊα ἔργα βροτοῖσιν.

(Bion, 9.)

Μακάριος, ὅστις νοῦν ἔχων τιμᾷ θεόν,
καὶ κέρδος αὐτῷ τοῦτο ποιεῖται μέγα.

(E. Fr. Archil. XXXVIII.)

Μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.

(E. Orest. 420.)

— Μετρία ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις.

(Plato, Epistul. 8, 159.)

Μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν,
Φαίδιμε.

(Stob. CXIV. 4.)

Μὴ θεομάχει μηδὲ προσάγου τῷ πράγματι
χειμῶνας ἑτέρους. τοὺς δ' ἀναγκαίους φέρε.

(Men. Meinecke, v. IV, p. 183.)

Μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς.

(A. Sept. Contr. Theb. 223.)

* Μήπου σὺ ποίει πρὸς τὸ νηπιώτερον
πέῤῥω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν κλύει.

(Stob. Ecl. I, IV, 42.)

Μήτι σύγ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι.

(Hom. Il. V, 130.)

Μίαν πρόνοιαν τῶν ἄνω τε καὶ κάτω
θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει.

(Gnom. Men. Meinecke, v. IV, p. 336.)

Νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα καὶ κατὰ θυμὸν,
ὅ, ττι μάλ' οὐ δηναιὸς, ὃς ἀθανάτοισι μάχηται.

(Hom. Il. V, 406 sq.)

Νομίζω ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν·
μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα ἴσης σπουδῆς τυγχάνειν.

(Socrat. Stob. LXXXXVIII, 69.)

. . . νῦν γὰρ εἶ χρεῖος φίλων,
θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων·
ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ.

(E. Hercul. Fur. 1338 sqq.)

Νῦν δ' ἐπέλπομαι μὲν ἐν θεῷ γε μὰν
τέλος.

(Pind. Olymp. XIII, 147 sq.)

Νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλησιν,
δώσει.

(Hom. Il. VIII, 141 sq.)

Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κ' ὀδύρεται.

(Men. Monost. Stob. Ecl. I, III, 13.)

Ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

(Men. incert. Cl. 268.)

Ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος.

(Stob. Ecl. I, III, 5.)

* . . . ὁ γὰρ θεὸς οἶδε δικάζειν.

(Theocrit. XXIII [XVI], 63.)

. . . ὁ γὰρ θεὸς οὐκέτι μακράν.

(Callimach. in Apoll. 7.)

. . . ὁ δὲ παρὼν πανταχοῦ
πάντ' ἐξ ἀνάγκης οἶδε, πανταχοῦ παρών.

(Phil. incert. Cl. 338.)

. . . ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει,
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων.

(E. Helena, 711 sqq.)

Οἱ γὰρ θεὸν σέβοντες ἐλπίδας καλὰς
ἔχουσιν εἰς σωτηρίαν.

(Phil. incert., Meinecke, v. IV, p. 60.)

Ὁ μὴ δεχόμενος, τῶν θεῶν τὸ σύμφορον
αὐτῷ διδόντων ἕνεκα τοῦ ζῆν, βούλεται

τοιοῦτος ἀτυχεῖν· ἢν δὲ μὴ θεὸς διδῷ,
τοῦ μὴ διδόντος ἔσθ' ἁμάρτημ', οὐ τρόπου.

(Men. Cl. 160.)

* Ὀξὺς θεῶν ὀφθαλμὸς ἐς τὰ πάντ' ἰδεῖν·
ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον
τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον
δαιμόνιον, ᾧ μέλει τὰ τοῦ θνητοῦ βίου.

(E. Fr. Stob. Ecl. I, IV, 11.)

* Ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην
εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ,
ἑξῆς δ' ὀπηδεῖ δόχμιόν, ἄλλοθ' ὕστερον.
οὐδ' ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα,
ὅ,τι δ' ἂν ποιῇς νόμιζ' ὁρᾶν θεῶν τινα.

(A. Fr. incert. 269.)

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις,
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

(E. Fr. incert. 1, Cl. Alex. Str. V.)

* Ὁρμᾶται μόλις, ἀλλ' ὅμως
πιστόν τι τὸ θεῖον
σθένος· ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν
τιμῶντας, καὶ μὴ τὰ θεῶν
αὔξοντας σὺν μαινομένᾳ δόκᾳ,
κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα καὶ
θηρῶσιν τὸν ἄσεπτον.

(E. Bacch. 882 sqq.)

Ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω
τὰ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν.

(E. Troad. 606 sq.)

Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.

(Hom, Il. I, 218.)

Ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,
οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθει λέγων.

(E. Fr. Philoct. VI.)

* Ὅστις δὲ θνητῶν οἴεται καθ' ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
δοκεῖ πονηρὰ, καὶ δοκῶν ἁλίσκεται,
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.

(E. Fr. Phrix. VIII.)

Ὅταν ἀγαθὸν πράσσῃς, θεοὺς μηδὲ σεαυτὸν αἰτιῶ.

(Bias.)

† Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
τούτῳ τὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν
τὸν νοῦν μὲν ἐσθλόν, εἰς δὲ τὴν χείρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

(Lycurg. Leocr. 92.)

† Ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά,
τὸν νοῦν ἔβλαψε πρῶτον, ᾧ βουλεύεται.

(Schol. in Aristoph.)

Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.

(E. Orest. 667 sq.)

Ὅταν τι πράττῃς ὅσιον, ἀγαθὴν ἐλπίδα
πρόβαλλε σαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.

(Men. Meinecke, v. IV, p. 248.)

* Οὐ γὰρ δὴ θνητοῖς ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος· ἐξαπίνης δὲ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὅς, πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει,
οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν,
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος.

(Solon, IV. 16 sqq.)

Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν,
οὐδ' ἀτελεύτητον ὅ, ττι κεν κεφαλῇ κατανεύσω.

(Hom. Il. I, 526 sq.)

Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακοῦ.

(S. Fr. 688.)

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πενιχρός,
οὔτε κακὸς νόσφιν δαίμονος, οὔτ' ἀγαθός.

(Theognis, 165 sq.)

Οὐδείς, Κύρνε, ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.

(Theognis, 133 sq.)

Οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσιν.

(E. Bacch. 200.)

. . . οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί·
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.

(Hom. Il. IX, 496 sqq.)

Οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.

(Solon, XIII, 15 sqq.)

* Οὐ δῆκταί γ' ὅπως κύνες οἱ θεοί,
ἀλλ' ἡ Δίκη γὰρ καὶ κατὰ σκότους βλέπει.

(Stob. Ecl. I, IV, 6.)

. . . οὐκ ἄρα
ἡμῶν ηὐφρόντισέν τις, ἢ μόνος θεός.

(Men. incert. Meinecke, v. IV, p. 276.)

Οὐκ ἐᾷ φρονέειν ὁ θεὸς μέγα ἄλλον ἢ ἑωυτόν.

(Herodotus.)

Οὐκ ἔστιν εἷς ὁ τῆς δίκης ὀφθαλμός, ἀλλὰ πᾶσι τούτοις ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περὶ γῆν τε καὶ θάλατταν.

(Arion.)

Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει.

(E. Fr. Androm. XXIV.)

— Οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ
κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.

(E. Fr. Peliad. III.)

— . . . οὐκέτ' ἀνθρώπους κακοὺς
λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν κακὰ
μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.

(E. Ion, 449 sqq.)

Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.

(Hom. Od. XIV, 83 sq.)

Οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον
ἄνδρα γενέσθαι.

(E. Heraclid. 608 sq.)

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

(Hom. Il. III, 65.)

Οὕτως οὔ τί που ἔστι Διὸς νόον ἐξαλέασθαι.

(Hes. Op. 105.)

— Οὕτω χαλεπὸν ἀνθρώπῳ τὰ θεῖα βιάζεσθαι.

(E. Iphig. A. 14.)

Οὐ χρή ποτε τόδ' ἀφελέσθαι,
τιμᾶν θεούς.

(E. Heraclid. 902 sq.)

* Ὀψὲ θεοῦ μύλαι ἀλέουσι τὸ λεπτὸν ἄλευρον.

(Sibyll.)

. . . πάντα γὰρ τὰ τῶν θεῶν
ἐς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ' οὐδεὶς κακόν·
ἡ γὰρ τύχη παρήγαγ' ἐς τὸ δυσμαθές.

(E. Iphig. T. 476 sqq.)

Πάντα δ' εὐπετῆ θεοῖς.

(E. Phoen. 689.)

Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας.

(Hes. Op. 265.)

. . . πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.

(Hom. Od. IV, 48.)

Πάντη γάρ ἐστι πάντα τε βλέπει θεός.

(Men. Monost. Stob. Ecl. I, III, 17.)

Πάντη δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

(Solon, IX.)

. . . πείθειν δῶρα καὶ θεοὺς λόγος.

(E. Medea, 964.)

Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ' ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

(E. Bacch., Medea, Alcest. ultim.)

Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς, κρείσσονες πεφυκότες.

(E. Fr. incert. 204.)

Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσαις.

(Prov.)

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.

(Lucilius, Anth. X. 122.)

— Πολὺς ταραγμὸς ἔν τε τοῖς θεοῖς ἔνι
κἀν τοῖς βροτείοις.

(E. Iphig. T. 572 sq.)

— . . . πόρσω γὰρ ὅμως
αἰθέρα ναίοντες ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι,
τὸ σοφὸν δ' οὐ σοφία,
τό τε μὴ θνητὰ φρονεῖν.

(E. Bacch. 391 sqq.)

* Πότνια γὰρ Δίκα τάδ' οὐ πείσεται.

(Prov.)

— Πῶς δῆτ' ἐγὼ θνητός τ' ἂν ἐκ θνητῆς τε φὺς
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

(S. Fr. 470.)

Ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν.

(Linus, Stob. 110.)

Ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκή.

(Hom. Il. XV, 490.)

Ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

(Simonid.)

Ῥεῖα θεός γε θέλων καὶ τηλόθεν ἄνδρα σαῶσαι.

(Hom. Od. IV, 231.)

Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει.
ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης.

(Hes. Op. 5 sqq.)

. . . σέβοντα δαίμονας θαρσεῖν χρεὼν,
εἰς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ' ὥσπερ πεφύκασ', οὔποτ' εὖ πράξειαν ἄν.

(E. Ion, 1620 sqq.)

Σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθος, ὡς θεῶν ὑπηρέτου.

(A. Prom. Vinct. 953 sq.)

Σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ
ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ',
ὃν περὶ μὲν φῶς, περὶ δ' ὀρφναία
νὺξ αἰολόχρως ἄκριτός τ' ἄστρων
ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.

(E. Fr. Pirithous, II.)

† . . . σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῷδ' ἔμμεν', ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν.

(S. Antigone, 620 sqq.)

Σὺ δ' εἶκ' ἀνάγκῃ, καὶ θεοῖσι μὴ μάχου.
τόλμα δὲ προσβλέπειν με, καὶ φρονήματος
χάλα· τά τοι μέγιστα πολλάκις θεὸς
ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.

(E. Fr. Teleph. XXV.)

. . . συμφοραὶ θεήλατοι
πᾶσιν ἀνθρώποισιν ἢ τότ' ἦλθον, ἢ τότε.

(E. Androm. 851.)

Σὺν θεῷ γάρ τοι φυτευθεὶς
ὄλβος ἀνθρώποισι παραμονώτερος.

(Pind. Nem. VIII, 28 sqq.)

Σὺν τῷ θεῷ χρὴ τοὺς σοφοὺς ἀναστρέφειν
βουλεύματ' αἰεὶ πρὸς τὸ χρησιμώτερον.

(E. Fr. Mel. Vinct. XXXIII [T].)

* Τὰ θεῖα δ' οὐ θεῖ', οὐδ' ἔχειν ἡγεῖ δίκην;

(E. Androm. 439.)

Τὰ θεῶν βουλεύματα ἐρευνᾶσαι βροτέᾳ φρενὶ δύσκολον.

(Clem. Alex. Str. V, 726.)

Τὰ μὲν ὑψηλὰ ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ.

(Aesop. ap. Diog. Laërt.)

Τὰς τῶν θεῶν γὰρ ὅστις ἐκμοχθεῖν τύχας
πρόθυμός ἐστιν, ἡ προθυμία δ' ἄφρων·
ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.

(E. Hercul. Fur. 309 sqq.)

Τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος
βαρέα.

(E. Ion, 1375 sq.)

Τέλος ἀνθρώπου ὁμοίωσις θεοῦ.

(Pythagoras.)

* Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός,
ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας.

(E. Fr. Androm. XXIX.)

. . . τί γὰρ
πρὸς τοὺς σθένοντας θεοὺς ἁμιλλᾶσθαι καλόν;

(E. Iphig. T. 1478 sq.)

Τί δ' ἔλπεαι σοφίαν εἶναι,
ᾇ ὀλίγον ἀνὴρ
ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως
τὰ θεῶν βουλεύματ' ἐρευνᾶσαι
βροτέᾳ φρενί.

(Pind.)

Τί δὲ μέλλω φρένα δίαν
καθορᾶν ὄψιν ἄβυσσον;

(A. Suppl. 1058 sq.)

Τιμὴ δ' ἐκ Διός ἐστιν.

(Hom. Il. II, 197.)

Τίς ἐστιν ὁ θεός, οὐ θέλης σὺ μανθάνειν,
ἀσεβεῖς, τὸν οὐ θέλοντα μανθάνειν θέλων.

(Men. Comp. Cl. 272.)

* Τίς ὁ θεοὺς ἀνομίᾳ χραίνων θνητὸς ὤν,
ἄφρονα λόγον οὐρανίων μακάρων κατέβαλ'·
ὡς ἄρ' οὐ σθένουσιν θεοί;

(A. Hercul. Fur. 757 sqq.)

Τὸ γὰρ τρέφον με, τοῦτ' ἐγὼ κρίνω θεόν.

(Men. Adelph. 4.)

*Τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

(Stob. Eclog. I, IV, 11.)

— Τὸν λιβάνωτον τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

(Socrates.)

Τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει,
φύλακα πολυπόνων
βροτῶν.

(A. Suppl. 381 sqq.)

Ὑψόθεν δ' εὖ κλύοι καλούμενος.

(A. Suppl. 173.)

Φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς,
οὐκ εἰσιν, οὐκ εἰσ', εἴ τις ἀνθρώπων λέγει,
μὴ τῷ παλαιῷ χρήσθω λόγῳ.

(E. Fr. Belleroph. XXI.)

. . . χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἰρύσθαι.

(Hom. Od. XXIII, 81 sqq.)

Χρὴ δὲ πρὸς
θεὸν οὐκ ἐρίζειν.

(Pind. Pyth. II, 161 sq.)

Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ δῖον· ἀλλὰ πᾶν ἔπος τελεῖ.

(A. Prom. Vinct. 1032 sq.)

Ὦ ἄνα, κόσμου πρῆκτορ, θεοῦ τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτόν σε καὶ ὕστατον, ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

(Theognis. 1 sqq.)

Ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας.

(Ar. Aves, 1238.)

Ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.

(S. Oed. R. 725 sq.)

Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.

(Hom. Od. I, 32.)

Vide: *Divitiae:* Οὔτοι τὰ. — *Juventus:* Νέος, Ὁν οἱ. — *Libertas:* Τίς ἄρα. — *Pecunia:* Ἐγὼ. — *Patientia:* Εἰ δὲ. — *Tempus:* Οὐκ ἐστι.

Dialectica.

Διαλεκτικὴν φεῦγε, συγκυκᾷ γὰρ τἄνω κάτω.

(Serenus, Stob. LXXXII, 10.)

Ἐοικέναι δεῖ τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνο χρήσιμον ὄντα, εἰ μὴ καταβάλλειν τοὺς βαδίζοντας.

(Ariston. Stob. LXXXII, 11.)

Οἱ τῶν διαλεκτικῶν λόγοι ὅμοιοί εἰσι τοῖς τῶν ἀραχνίων ὑφάσμασιν· οὐδὲν μὲν χρήσιμοι, λίαν δὲ τεχνικοί.

(Ariston. Stob. LXXXII, 15.)

Οἱ ἐν διαλεκτικῇ βαθύνοντες ἐοίκασι καρκίνους μασωμένοις, οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

(Ariston. Stob. LXXXII, 15.)

Τοὺς διαλεκτικοὺς ἐοικέναι δεῖ τοῖς ψηφοπαίκταις, οἵτινες χαριέντως παραλογίζονται.

(Acesilaus, Stob. LXXXII, 4.)

Dictum, Dicere, v. Locutio, Verbum, Sermo (cf. Factum).

Dies (cf. Nox, Futurum tempus).

Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ
τίκτει βροτοῖς.

(E. Fr. Alcmene, XV.)

Μήποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα, οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων, ὅ,τι νὺξ χ' ἡμέρη ἀνδρὶ τελεῖ.

(Theognis, 22.)

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια.

(S. Aias, 132 sq.)

Difficultas (cf. Molestia).

Γενναῖα μὲν τάδ' εἶπας, ἀλλ' ἀμήχανα.

(E. Heraclid. 464.)

Κἀν ταῖς ἀπορίαις ἔσθ' ὁ χρηστὸς χρήσιμος.

(Men. Stob. XXXVII, 12.)

Πολλὰ δύσκολα
ἐν τοῖς πᾶσιν εὕροις πράγμασ'·
ἀλλ' εἰ πλείονα
τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

(Men. Cl. 30.)

. . . τί φυγάσιν τὸ δυσχερές;
ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.

(E. Phoen. 390 sq.)

Dilatio (cf. Mora).

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄταισι παλαίει.

(Hes. Op. 411.)

Ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ' ἄκη.

(A. Hercul. Fur. 93.)

Μήδ' ἀναβάλλεσθαι ἐς ταὔριον, ἔς τ' ἔννηφιν,
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιὴν
οὐδ' ἀναβαλλόμενος.

(Hes. Op. 408 sq.)

Diligentia (cf. Consuetudo, Industria, Labor, Cura).

Ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ
ἅπαντα.

(Stob. XXIX, 46.)

. . . μελέτη δέ τοι ἔργα ὀφέλλει.

(Hes. Op. 410.)

Ὅσαι δ' ἐν ἀνθρώποις ἀρεταὶ, ... πάσας εὑρήσεις μαθήσει καὶ μελέτῃ αὐξανομένας.

(Xenoph. Memorab.)

Disciplina, Discere (cf. Educatio, Doctrina, Literae).

Ἃ δ' ἂν μάθῃ τις, ταῦτα σώζεσθαι φιλεῖ
πρὸς γῆρας.

(E. Suppl. 916.)

Ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

(S. Fr. 622.)

Ἀλλ' ἄνδρα, κεἴ τις ᾖ σοφὸς τὸ μανθάνειν
πόλλ', αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.

(S. Antigone, 710 sq.)

Ἀναγκαιότατον πάντων μάθημά ἐστι τὸ ἀπομαθεῖν τὰ κακά.

(Antisth. Socrat. M. Flor. XVI, 23.)

Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής.

(Isocr. ad Demon.)

Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν.

(Prov.)

. . . ἡ δ' εὐανδρία
διδακτὸν, εἴπερ καὶ βρέφος διδάσκεται
λέγειν ἀκούειν θ' ὧν μάθησιν οὐκ ἔχει.

(A. Suppl. 913 sqq.)

Καρπὸς δ' ἀγαθός ἐστιν εὔτακτος βίος.

(Monost. Gesner. Gnom. Stob. I. 10.)

Μάθησις γὰρ φρένας αὔξει.

(Empedocl. M. Flor. XVI, 6.)

Ὁ γὰρ ξυνὼν, κακὸς μὲν ἢν τύχῃ γεγὼς,
τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,
χρηστοὺς δ' ὁ χρηστός· ἀλλὰ τὰς ὁμιλίας
χρηστὰς διώκειν, ὦ νέοι, σπουδάζετε.

(E. Fr. Peliad. X.)

Ὅταν λέγῃς μὲν πολλὰ, μανθάνῃς δὲ μὴ,
τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσῃ.

(Men. Meinecke, v. IV, p. 326.)

Οὔτε τέχνη, οὔτε σοφίη ἐφικτὸν, ἢν μὴ μάθησις.

(Democrit. M. Flor. XVI, 65.)

Παθήματα μαθήματα.

(Prov.)

— Παρὰ μὲν τῶν εὐφυῶν, ὅτι πολλὰ μανθάνουσιν, παρὰ δὲ τῶν ἀφυῶν, ὅτι πολὺν κόπον παρέχουσιν.

(Hiero, Rex Syracus.)

Προσλαμβάνειν δὲ δεῖ πρὸς ἡμέραν ἀεὶ,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα.

(S. Fr. 779.)

Σοφία γάρ ἐστι καὶ μαθεῖν ἃ μὴ νοεῖς.

(Comic.)

Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
ζητῶ· τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

(S. Fr. 623.)

Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν.

(Democr.)

. . . τὸ μανθάνειν
δ' ἥδιστον εὖ λέγοντα καὶ κέρδος φέρει.

(S. Antigone, 1031.)

. . . τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.

(A. Agam. 177 sq.)

Ὡς οὐδὲν ἡ μάθησις, ἣν μὴ νοῦς παρῇ.

(Men. Monost. Stob. III, 25.)

Distantia (cf. Propinquitas).

*—*Μὴ νῦν τὰ πόρρω, τἀγγύθεν μεθείς, σκόπει.

(E. Rhesus, 482.)

Μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς.

(Antisthenes.)

Πόρρω Διὸς καὶ κεραυνοῦ.

(Diogenian.)

Πόρρω δὲ λεύσσω, ἐγγύθεν δὲ πᾶς τυφλός.

(S. Fr. 787.)

. . . τὸ πόρσω
δ' ἔστι σοφοῖς ἄβατον
κἀσόφοις· οὐ μὴν διώξω — κεινὸς εἴην.

(Pind. Ol. III, 80.)

Divitiae (cf. Pecunia, Aurum, Felicitas; Paupertas, Miseria).

Ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.

(E. Fr. Alex. XIV.)

Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τε κἀπήρειαν καὶ μῖσος πολύ,
πράγματά τε πολλὰ καὶ ὀχλήσεις μυρίας,
πράξεις δὲ πολλὰς συλλογάς τε τοῦ βίου·
κἂν εἶτα μετὰ ταῦθ' εὐθὺς εὑρεθῇ θανών,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.

(Philem. incert. Meinecke, v. IV. p. 35.)

. . . ἀλλὰ τῶν πολλῶν καλῶν
τίς χάρις, εἰ κακόβουλος
φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;

(S. Fr. 718.)

Ἀλλ' οὐδὲν ηὑγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

(E. Fr. Alcmene, VIII.)

Ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

(Theognis, 717.)

Ἀνάξιον, ἄνδρα ἐπαινεῖν διὰ πλοῦτον.

(Bias.)

Ἄνδρα ζητεῖν χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός.
(Themistocles.)

Ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσ' ἀσφαλές.
(Philem. Comp. Meinecke, v. IV, p. 30.)

*—*Ἆρ' οἶσθ' ὁθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν,
πένητες ὄντες, οὐδὲν ἐμφαίνουσ' ἔτι,
οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν
καὶ συμπλέκοντες σπέρμα καὶ γάμον τέκνων.
(E. Fr. Danaë, XV.)

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένοις ἀνέχεσθαι,
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.
(Pallad. Anthol. X, 93.)

Βίᾳ νῦν ἕλκετ', ὦ κακοί, τιμάς, βροτοί,
καὶ κτᾶσθε πλοῦτον παντόθεν θηρώμενοι
σύμμικτα, μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.
(E. Fr. Ino, XIII.)

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.
(Theognis, 145 sq.)

Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
(Comic.)

Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστιν γεύεσθαι τῶν δεόντων.
(Demosth. Olynth. I.)

*—*Δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα
καὶ πρός τὰ βατά, χωπόθεν πένης ἀνὴρ
μήδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.
(S. Fr. 109.)

*—*Δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ,
κακὸς δ' ὁ μὴ 'χων, οἱ δ' ἔχοντες ὄλβιοι.
(E. Fr. Danaë, XV.)

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
(Men. Meinecke, v. IV, p. 76.)

Δυσχερὲς, πλουτοῦντα σωφρονεῖν.
(Prov.)

Ἐὰν γέρων γένηται πλούσιος γεγὼς,
καλὸν τὸ γῆράς ἐστιν ἐπὶ τούτῳ μόνον,
ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων.
(Philem. incert. Meinecke, v. IV, p. 47.)

Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς ἐπιθυμίας ἀφαίρει.

(Epicurus.)

Εἰ γὰρ ὁ πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον αὑτὸν,
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν μελετῴη
οὐδείς.

(Ar. Plut. 510 sqq.)

Εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ' οὑτωσὶ καὶ φιλοκερδής.

(Ar. Plut. 591.)

Εἴποις ἄν, ὡς ὁ χρυσὸς ἐκνικᾷ τάδε,
πλουτεῖν τε τερπνόν.

(E. Ion. 629 sq.)

. . . εἰσορῶ·
δειλόν γ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

(E. Phoen. 597 sq.)

. . . εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν,
ἢ χαρίεν ἀνθρώποισι, διά σε γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.

(Ar. Plut. 144 sqq.)

Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

(E. Fr. Kress. VIII.)

Ἐστὶ γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.

(A. Pers. 168.)

Ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; Πλούσιος.
τούτους δὲ πάντας φασὶν εὐγενεστάτους
εἶναι· πένητας δ' εὐπατρίδας οὐδεὶς ὁρᾷ.

(Alexis, Meinecke, v. III, p. 419.)

Ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς,
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.

(E. Fr. Erechth. XX.)

Ἔχω δὲ πολλὴν οὐσίαν, καὶ πλούσιος καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός.

(Plutarch. De Arte Poet.)

Ἦν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι.

(Theognis, 929.)

Ἦ που κρεῖσσον τῆς εὐγενίας
τὸ καλῶς πράσσειν.

(E. Fr. Aegeus, VII.)

Ηὔχεις τις εἶναι τοῖσι χρήμασι σθένων,
τὰ δ' οὐδὲν εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.
ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα.
ἡ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κακά,
ὁ δ' ὄλβος ἄδικος, καὶ μετὰ σκαιῶν ξυνὼν,

ἐξέπτατ᾽ οἴκων, σμικρὸν ἀνθήσας χρόνον.

(E. Electra, 939 sqq.)

Κακόν τι βούλευμ᾽ ἦν ἄρ᾽ εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ᾽ ἄγαν τρυφαί.
πενία δὲ δύστηνον μὲν, ἀλλ᾽ ὅμως τρέφει
μοχθοῦντ᾽ ἀμείνω τέκνα καὶ δραστήρια.

(E. Fr. Alex. XV.)

Κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ᾽ ἀνὴρ,
πλὴν εἴ τις· ὅστις δ᾽ οὗτός ἐστιν, οὐχ ὁρῶ.

(E. Fr. Danaë, VI.)

—. . . κύδιον βροτοῖς
πένητα χρηστὸν, ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον.

(E. Androm. 639 sqq.)

Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει,
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς,
οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν,
ἀσχημοσύνης γὰρ γίνετ᾽ ἐνίοις αἴτιος.

(Men. Cl. 190.)

*—*Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον.

(Isocr. ad Demon. II.)

*—*Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
μηδ᾽ ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

(E. Medea, 598 sq.)

Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν
ταπεινὸς ἔσται. κεῖνο δ᾽ ἰσχύει μέγα,
πλοῦτος, λαβών τε τοῦτον εὐγενὴς ἀνήρ.

(E. Fr. Archel. XVIII.)

Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεὸν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.

(E. Fr. Aeol. V.)

Μισῶ γὰρ ὄντως, οἵτινες φρονοῦσι μὲν,
φρονοῦσι δ᾽ οὐδενός γε χρημάτων ὕπερ.

(E. Fr. Archel. XIX.)

Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος (Πλοῦτε)
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν.

(Ar. Plut. 182 sq.)

Ὁ δὲ πλοῦτος ἡμᾶς καθάπερ ἰατρὸς κακὸς
πάντας βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.

(Antiphan. Meinecke, v. III, p. 153.)

. . . ὁ δὲ πλοῦτος τυφλόν,
τυφλοὺς δ᾽ ἐς αὐτὸν ἐμβλέποντας δεικνύει.

(Men. Cl. 28.)

Ὀδυνηρὸς ἄρ᾽ ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν.

(E. Phoen. 566.)

Ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεὸς,
τὰ δ᾽ ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι.

(E. Cycl. 316 sq.)

Ὁ πλοῦτός ἐστι νεῦρα πραγμάτων.

(Bion.)

— Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν,
ὦ μῆτερ, ἡ πενία δὲ περιφανές τε καὶ
ταπεινόν.

(Antiphan. Meinecke, v. III, p. 91.)

. . . ὃς δ᾽ ἂν πλεῖστ᾽ ἔχῃ, σοφώτατος.

(E. Fr. Palam. I.)

Ὅστις τῶν ἐπιθυμιῶν πένης, οὗτος ὄντως ἐστὶ πλούσιος.

(Cleanthes, Stob. LXXXXIV, 28.)

Οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον
τὰ χρήματ᾽ ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ᾽ ἐν κακοῖσι δύναμιν οὐ μικρὰν ἔχει.

(E. Fr. Polyid. IX.)

Οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν.

(Men.)

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι, ἀλλά μοι εἴη
    ζῆν ἐκ τῶν ὀλίγων μηδὲν ἔχοντα κακόν.

(Anth. X. 114.)

Οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίγνεται, ἀλλ᾽ ἐξ ἀρετῆς χρήματα καὶ πολλὰ τἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα.

(Plato.)

Οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλεὼν, ὃν οὐκ ἀνοίγει τύχης καιρός.

(Democrit. Stob. CV, 59.)

Οὐπώποτ᾽ ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύοντα μηδὲν, ὧν ἔχει.

(Men. Meinecke, v. IV, p. 256.)

Οὔ σε μάτην, ὦ πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα,
    ἦ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.

(Theognis, 523 sq.)

Οὔτοι τὰ χρήματ᾽ ἴδια κέκτηνται βροτοὶ,
τὰ τῶν θεῶν δ᾽ ἔχοντες ἐπιμελούμεθα.

(E. Phoen. 555 sq.)

Οὐ τὸ πλουτεῖν καλὸν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν.

(Lycurg. Stob. LXXXXIV, 17.)

—. . . οὐχὶ τῷ πλούτῳ διδοὺς
τὸ πλεῖστον, ἀλλὰ χὠ πένης ἔχων ἴσον.

(E. Suppl. 407 sq.)

— Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
    πᾶσιν δ᾽ ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

(Theognis, 621 sq.)

— Πειρῶ τὸν πλοῦτον, χρήματα καὶ κτήματα παρασκευάζειν. ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς χρῆσθαι δυναμένοις.

(Isocr. ad Demon. 8.)

Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος,
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
εἰς πάντα τὸν χρόνον, φύλαττε μηδενὶ
ἄλλῳ μεταδιδούς. αὐτὸς ὢν δὲ κύριος
εἰ μήδ' ἑαυτοῦ, τῆς Τύχης δὲ πάντ' ἔχεις,
τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί;
αὐτὴ γὰρ ἄλλῳ, τυχὸν ἀναξίῳ τινὶ,
παρελομένη σου, πάντα προσθήσει πάλιν.
Διόπερ ἐγώ σέ φημι δεῖν, ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ,
αὐτὸν ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν,
ὡς ἂν δύνῃ πλείστους, διὰ σαυτοῦ, τοῦτο γὰρ
ἀθάνατόν ἐστι, κἄν ποτε πταίσας τύχῃς,
ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.

(Men. Cl. 50.)

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος.

(Theognis, 899.)

Πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.

(Theognis. 596.)

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
σύν τοι καὶ κακὸς ὢν γίνεται ἐσθλὸς ἀνήρ.

(Theognis. 1117 sq.)

Πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόγους κλύειν
ἐν χερσὶ σώζων ὄλβον, οὐδ' ἔχειν πόνους.

(E. Ion. 630 sq.)

Πλουτεῖς, καὶ τί τὸ λοιπόν; ἀπερχόμενος μετὰ σαυτοῦ
τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
τὸν πλοῦτον συνάγεις δαπανῶν χρόνον· οὐ δύναμαι δὲ
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

(Pallad. Anthol. X. 60.)

Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα.

(E. Fr. Archel. XXXIII.)

Πλουτεῖς· τὰ δ' ἄλλα μὴ δοκεῖς συνιέναι.
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις.
πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές.

(E. Fr. Polyid. X.)

— Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
εὖ τοῖς κληρονόμοις, πλούσιε, σοὶ δὲ πένης.

(Lucill. Anth. XI. 294.)

Πλοῦτον μεταλήψεθ' ἕτερον, οὐχὶ τὸν τρόπον.

(Philem. incert. Meinecke, v. IV, p. 64.)

Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

(Men. incert. Meinecke, v. IV, p. 293.)

Πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπων τρόπων.

(Antiphanes, Stob. XCI, 14.)

Πλοῦτος δ' ἔπακτος ἐκ γυναικείων γάμων
ἀνόητος.

(E. Fr. Mel. Vinct. XVII.)

Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.

(Men. Meinecke. v. IV, p. 94.)

Πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ἔγκον, ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔστι σεμνὸς ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν.

(Chaerem. Stob. XCI, 11.)

Πλοῦτος δ', ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος, ἐκ νεάτου πυθμένος ἐς κορυφήν.

(Solon, V, 8 sq.)

. . . πλοῦτος ἔμιξε γένος.

(Theognis, 190.)

Πλοῦτος κακίας μᾶλλον ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστίν.

(Isocr. ad Demon.)

Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθής,
τἄλλα δ' ἔχει λύπην πλείονα τῶν ἀγαθῶν.

(Lucian. Sam. Anth. X. 41.)

ΠΛΟΥΤΟΣ φιλούμενον ἀτύχημα — περιπόθητον ταλαιπώρημα
καθημερινὴ μελέτη — εὐμετάπτωτον πρᾶγμα
περιερχόμενον εὐτύχημα — χρυσοῦ φορτίον
φόβος ἐλπιζόμενος — χορηγία πονηρίας
ἡδονῶν ὑπηρέτης — θησαυρὸς κακῶν
ἐφόδιον ἀτυχημάτων.

(Or. I. 200.)

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσιν.

(Solon, IV, 71 sqq.)

Πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

(Hes. Op. 311.)

Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσιν.

(Herodot. I, 32.)

— Πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ
ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς καὶ πεινῶσιν, μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.

(Ar. Plut. 502 sqq.)

Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δέ τε καλὰ
ζητοῦσιν, χαλεπῇ τειρόμενοι πενίῃ.

(Theognis.)

— Πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

(Theognis, 315 sqq.)

Σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι.

(E. Fr. incert. 39.)

Σκαιὸν τὸ χρῆμα πλοῦτος ἥ τ' ἀπειρία.

(E. Fr. Alcmene, IX.)

Σκοπῶ τὰ χρήμαθ', ὡς ἔχει μέγα σθένος
φίλοις τε δοῦναι, σῶμά τ' ἐς νόσον πεσὸν
δαπάναισι σῶσαι· τῆς δ' ἐφ' ἡμέραν βορᾶς
ἐς σμικρὸν ἥκει.

(E. Electra, 427 sqq.)

Σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε,
ἀλλ' ἢν τάλαντά τις λάβῃ τρισκαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα.

(Ar. Plut. 193 sqq.)

Τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς
τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτός ποτε
βέβαιος ἄδικος.

(E. Fr. Erechth. X.)

Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ·
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.

(A. Pers. 165 sqq.)

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος θακοῦσιν αἰσχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.

(S. Fr. 109.)

Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.

(E. Phoen. 439.)

Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.

(Bion, Stob. CV, 56.)

Τὴν δ' εὐγένειαν, πρὸς θεῶν, μή μοι λέγε·
ἐν χρήμασι τόδ' ἐστὶ· . . .
κύκλῳ γὰρ ἕρπει, τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει.

(E. Fr. Aeol. IV.)

Τί γάρ με πλοῦτος ὠφελεῖ νοσοῦντά γε;
σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπον οἰκεῖν βίοτον, ἢ πλουτῶν νοσεῖν.

(E. Fr. Teleph. XXVIII.)

. . . τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς
κείμενος; οὐχ' ἅδε πλούτου φρονέουσιν ὄνασις.

(Theocrit. XVI [XV], 24 sq.)

Τίς ἄπθρωπος πλούσιος; ὁ αὐταρκής.

(Isocrates.)

Τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι.

(E. Fr. Phaëthon, XII.)

. . . τοῦτο μόνον ἐπισκοτεῖ
καὶ δυσγενείᾳ καὶ τρόπου πονηρίᾳ
καὶ πᾶσιν, οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς,
τὸ πολλὰ κεκτῆσθαι· τὰ δ' ἄλλ' ἐλέγχεται.

(Men. Meinecke, v. IV, p. 214.)

Τυφλὸς ὁ πλοῦτος εἶναί μοι δοκεῖ.

(Amph. Meinecke, v. III, p. 310.)

Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει·
ἀβεβαιότατον γάρ ἐστιν, ὧν κεκτήμεθα.

(Alex. Meinecke, v. III, p. 520.)

Ὕβριν τε τίκτει πλοῦτος, ἢ φειδὼ βίου.

(E. Fr. Hippol. IX.)

Ὑπόπτερος ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.

(E. Fr. Ino, XXIII.)

Χρήμαθ' ἃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται,
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει·
εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέι θυμῷ
κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.

(Theognis, 197 sq.)

. . . χρήμασιν γὰρ εὐτυχῶ,
ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.

(E. Fr. Androm. XXI.)

Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν.

(Hes. Op. 684.)

Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.

(Pyth. Sent. Aur. 16.)

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως τε πεπᾶσθαι
οὐκ ἐθέλω πάντως.

(Solon, V, 7 sq.)

Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.

(Hes. Op. 318.)

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσι,
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.

(Theognis, 149 sq.)

Χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη.
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται.

(Theognis, 230 sq.)

Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

(Alexid. Meinecke, v. III, p. 521.)

Ὤιμην ἐγὼ τοὺς πλουσίους, ὦ Φαινία,
οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
τὰς νύκτας, οὐδὲ τρεπομένους ἄνω κάτω
»οἴμοι« λέγειν, ἡδὺν δὲ καὶ πρᾷόν τινα
ὕπνον καθεύδειν.

(Men. Meinecke, v. IV, p. 149.)

Ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,
πόνοι δὲ κἂν σοι καὶ φθοραὶ πολλαὶ βίου
ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.

(E. Fr. Pleisth. III.)

Ὡς μέγα δύνασθον πανταχοῦ δύ' ὀβολώ.

(Ar. Ranae.)

Ὥσπερ γὰρ ἐχῖνον λαμβάνειν μὲν ῥᾴδιον, συνέχειν δὲ χαλεπὸν, οὕτω καὶ τὰ χρήματα.

(Aelian, 4.)

Ὤφελες, ὦ τυφλὲ πλοῦτε, μήτ' ἐν ἡμετέρῳ φανήμεναι,
διά σε γὰρ πάντ' ἐν ἀνθρώποις κακὰ, μήτε ἐν γῇ,
μήτ' ἐν θαλάττῃ, ἀλλὰ τάρταρόν τε ναίειν καὶ ἀχέροντα.

(Ar. Plut.)

Vide: *Cupiditas:* Οὗτος. — *Insolentia:* Φεῦ. — *Labor:* Ὁ πάντα. — *Mors:* Δοκῶ, Ὑμεῖς. — *Multum:* Κρεῖττον. — *Nobilitas:* Περισσόμυθος. — *Satietas:* Πλοῦτος καὶ. — *Virtus:* Ἀνδρὸς. — *Voluptas:* Πλουτεῖ τε.

Doctrina, Disciplina (cf. Eruditio, Educatio, Literae).

Βέλτιον ὀψιμαθῆ καλεῖσθαι, ἢ ἀμαθῆ.

(Philistion, Stob. M. Flor. XVI, 131.)

Πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσιν.

(Stob. IV, 83.)

Πολυμαθίη νόον οὐ διδάσκει.

(Heraclitus.)

. . . πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων.
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.

(S. Antigone. 721 sqq.)

Documentum, Experimentum.

Τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει.

(Demosth. Phil. 1.)

Dolor (cf. Gaudium, Voluptas, Miseria), v. Sympathia.

Ἀγαθὴ γὰρ ἡ λύπη καθ' αὑτῆς ἀναπλάσαι
ἀτεχνῶς διπλάσια τῆς ἀληθείας κακά.

(Philem. Meinecke, v. IV, p. 57.)

Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

. . . ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ,
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

(Hom. Il. XXIV, 522 sq.)

— Ἀλλ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.

(S. Antigone, 436.)

Ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.

(A. Suppl. 442.)

Ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶν, ἀλλὰ τὴν μακροθυμίαν,
ὅταν γὰρ ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
ἢ δεῖ θεόν σ' εἶναί τιν', ἢ τάχα δὴ νεκρόν·
παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.

(Men. incert. Meinecke, v. IV, p. 238.)

Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.

(Men. Meinecke, v. IV, p. 140.)

Βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.

(Men. Monost. Meinecke, v. IV, p. 341.)

— Ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.

(E. Fr. incert. 100.)

Ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

(Posidipp. Meinecke, v. IV, p. 519.)

— Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

(Democrit. Stob. XVII, 26.)

Ἥδιστον, ὦ παῖ, ταὐτὸν, ἀλγεινόν θ' ἅμα.

(E. Hippol. 318.)

Ἡ λύπη, παρ' οἷς ἂν τρέφεται καὶ αὔξεται, παρ' ἐκείνοις ἡδέως καὶ μένει.

(Sotades, De Ira, Stob. CVIII. 59.)

Ἡμέρας μιᾶς ἀλυπία μέγ' ἐστὶ κέρδος.

(Sotad. Stob. XCVIII, 10.)

Λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

(Phil. incert., Meinecke, v. IV, p. 426.)

Λύπη μανίας ὁμότοιχος ἐμοὶ δοκεῖ.

(Antiphan. Stob. XCIX, 27.)

Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε.

(Democrit Stob. CXVIII, 67.)

Λύπης δὲ πάσης γίγνετ' ἰατρὸς χρόνος.

(Diphil. incert. Meinecke, v. IV. p. 426.)

Μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ.

(Hom. Od. XV, 400.)

. . . Μὴ νῦν θέλε
λυπεῖν σεαυτόν· εὖ εἰδώς, ὅτι
πολλάκις τὸ λυποῦν ὕστερον χαρὰν ἄγει,
καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον.

(E. Fr. Antigone, XIV.)

Νόσον πολὺ κρεῖττον, ἢ λύπην φέρειν.

(Phil. incert. Meinecke, v. IV, p. 63.)

Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

(E. Fr. incert. 180.)

Οἴμοι· τὸ λυπεῖσθαι γὰρ ἐπὶ τὸ ῥῆμ' ἄγει
τοῦτ' εὐθύς, ὡς ἔοικε, τὸν λυπούμενον.
λυπουμένῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ,
χαῖρ', ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει.

(Phil. Meinecke, v. IV, p. 5.)

Οὐκ ἐστι λύπης, ἄν περ ὀρθῶς τις σκοπῇ,
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

(Mon. incert. Meinecke, v. IV, p. 263.)

Οὔπω γὰρ ἔφυ τις ἄλυπος.

(E. Iphig. A. 163.)

Οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ
λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.

(S. Philoctet. 1193 sqq.)

. . . παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.

(E. Hecab. 587 sq.)

Πλὴν ἕν τι τῶν πάντων ἀδύνατον ἦν ἄρα
εὑρεῖν, δι' οὗ τρόπου τις οὐ λυπήσεται.

(Men. Cl. 246.)

Πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν
λύπη· διὰ λύπην καὶ μανία γὰρ γίγνεται
πολλοῖσι καί νοσήματ' οὐκ ἰάσιμα.

(Philem. incert. Meinecke, v. IV, p. 43.)

Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν
ὄντων, μέγιστόν ἐστιν ἡ λύπη κακόν.

(Men. incert. Cl. 248.)

— Τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα.

(Hom. Od. XIX, 471.)

Τί γὰρ καλὸν ζῆν βίοτον, ὃς λύπας φέρει;

(A. Fr. 163.)

. . . τῶν μετρίων αἱ μείζονες
λύπαι ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.
(Alexid. Stob. XCIX. 28.)

— Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
(Hom. Il. XXIV, 525 sq.)

Vide: *Lacrima:* Εἰ τὰ. — *Sermo:* Λύπης, Ψυχή.

Dolus (cf. Artificium).

Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.
(A. Fr. 299.)

Δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα
χρείας ἀνάνδρου φάρμαχ' εὕρηται βροτοῖς.
(E. Fr. Belleroph. IV.)

Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
ἐν πάντεσσι δόλοισι.
(Hom. Od. XIII, 291 sq.)

Λέγεις μοι δόλια κοὺ σαφῆ τάδε.
(Prov.)

Οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἱ συντιθέντες τἄδικ' εἶτα μηχαναῖς
κοσμοῦσιν.
(E. Ion, 832 sqq.)

Ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσαπτέον τὴν ἀλωπεκῆν.
(Lysander ap. Herodot.)

Ὕπουλος ἀνὴρ, δίκτυον κεκρυμμένον.
(Men. Monost. Meinecke, v. IV, p. 356.)

Dominus, Herus (cf. Servus).

Δέσποιν' ὁποία, τοῖαι καὶ θεραπνίδες.
(Prov.)

Εἷς ἐστι δοῦλος οἰκίας, ὁ δεσπότης.
(Men. Monost. Meinecke, v. IV, p. 345.)

— Κακὸς γὰρ, ὅστις μὴ σέβει τὰ δεσποτῶν
καὶ συγγέγηθε καὶ συνωδίνει κακοῖς.
(E. Helen. 726 sq.)

Ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
(A. Pers. 169.)

Ποία κόπρος ἀρίστη; τὰ τοῦ δεσπότου ἴχνη.
(Prov.)

Domus (cf. Focus), * Domi (cf. Intus).

* Μακάριος, ὅστις εὐτυχῶν οἴκοι μένει.
(E. Fr. Philoct. XI.)

* Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.
(Hes. Op. 363.)

*Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα,
καὶ τὸν κακῶς πράττοντα καὶ τοῦτον μένειν.

(Men. Meinecke, v. IV, p. 112.)

Οἶκος φίλος, οἶκος ἄριστος.

(Prov.)

Τῆς ἰδίας οἰκίας προστάτει.

(Chilon.)

Τὸν οἴκοθεν βρεχόμενον οὐδὲ θεὸς οἰκτείρει.

(Prov.)

Donum, Datum.

Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ,
μή μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.

(Men. incert. Meinecke, v. IV, p. 267.)

Ἅπαν διδόμενον δῶρον, εἰ καὶ μικρὸν ᾖ,
μέγιστόν ἐστιν, εἰ μετ' εὐνοίας διδῷς.

(Philem. Meinecke, v. IV, p. 57.)

Δέχομαι φίλον γε δῶρον ἐκ φίλης χερός.

(E. Alcest. 388.)

. . . Δόσις δ' ὀλίγη τε φίλη τε.

(Hom. Od. XIV, 58 sq.)

Δός τι καὶ λάβοις τι.

(Epicharm.)

Δῶρα γὰρ ἀνθρώπων νόον ἤπαφεν ἠδὲ καὶ ἔργα.

(Augeas ap. Clem. Alex. Str. VI, 743.)

Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας.

(Plato.)

Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν.

(Hes. Op. 353.)

Ἐκ γὰρ δώρων πολλὰ κάκ' ἀνθρώποισι πέλονται.

(Antim. ap. Clem. Alex. Str. VI, 743.)

Ἐχθρὰ δέ μοι τοῦ δῶρα· τίω δέ μιν ἐν καρὸς αἴσῃ.
οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη.

(Hom. Il. IX, 377 sqq.)

Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

(S. Aias, 665.)

Καὶ δόμεν, ὅς κεν δῷ, καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ.

(Hes. Op. 352.)

Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.

(E. Medea.)

Καυχώμενος τὸ δῶρον, ὃ δέδωκας φίλῳ,
ἔργῳ στρατηγὸς γέγονας, ἐν λόγῳ φονεύς.

(Men. incert. Meinecke, v. IV, p. 40.)

— Μείζω εἴληφας, ἢ δέδωκας.

(Prov.)

Μὴ λέγ' ὅτι δώσεις· οὐ δίδωσι γὰρ λέγων
καὶ τὴν ἀπ' ἄλλων ἐμποδίζεται δόσιν.

(Phil. incert. Meinecke, v. IV, p. 57.)

Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κᾶν μέγα δώῃ,
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν.

(Hes. Op. 355 sq.)

Ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ,
δέξαι τὸ μόριον· τοῦ λαβεῖν γὰρ μηδὲ ἓν
τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ.

(Men. incert. Meinecke, v. IV, p. 248.)

. . . πείθειν δῶρα καί θεοὺς λόγος.

(E. Medea.)

Dormire, v. Somnus.

*Dos, v. Matrimonium, Femina, Uxor.

Draco.

Ὄφις, ἂν μὴ φάγῃ ὄφιν, δράκων οὐ γενήσεται.

(Lucian. VI, 491.)

Ductio, Dux (cf. Rex, Imperator, Gubernator).

Ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν.

(Hom. Il. XIII, 108.)

Οἱ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων.

(Thucydid.)

Duo, *Duplicitas (cf. Simplicitas).

Ἀλλὰ πρὸς δύο οὐδ' Ἡρακλῆς λέγει οἷός τε εἶναι.

(Plato, Phaedo.)

. . . ἀμαθία δυοῖν,
ἐς ταὔθ' ὅταν μόλητον, αἴσχιστον κακόν.

(E. Phoen. 584 sq.)

*Διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς.

(E. Orest. 633.)

Δύο δὲ ἐπιτηδεύματα, ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρώπων.

(Plato, Resp.)

Δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτων, τὴν ἐναντίαν μίσει.

(E. Fr. Erechth. XX, 10 sq.)

. . . δύο φέρειν ἐν ἑνὶ λόγῳ.

(S. Electra, 1086.)

*—*Ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον, ἢ δυοῖν κακοῖν.

(Ar. Eccl. 1096.)

Ἐπὶ δυοῖν ὅρμει (ἀγκύραιν).

(Prov.)

*Ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.

(Hom. Od. XVII, 65.)

*Κέρδος πρὸς ἔργον τὴν χάριν τίκτει διπλῆν.

(S. Iphig. T.)

* Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδὲν,
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.

(Theognis, 117 sq.)

Μήδ' Ἡρακλῆς πρὸς δύο.

(Prov.)

* Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

(Pallad. Anthol. X, 95.)

* Οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσιν.

(Solon, IV, 73 sq.)

— . . . ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ' ἐξ ἁπλῆς διπλῆ φανῇ.

(S. Trach. 618 sq.)

Πεφυλαγμένος ἄνδρα ἕκαστον, ὅρα, μὴ, κρυπτὸν ἔχων ἔγχος κραδίῃ, φαιδρῷ πρός σ' ἐνέπῃ προσώπῳ, γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελάνης φρενὸς γεγωνῇ.

(Solon.)

* Πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ, διχόμυθον ἔχουσα κραδίῃ νόημα.

(Pittac. ap. Diog. Laërt. I, 71.)

* Προσμειδιᾷ τοῖς χείλεσιν ἄκροις,
μισεῖ δὲ καὶ λάθρᾳ τοὺς ὀδόντας διαπρίει.

(Schol. ap Solon. Bad. p. 112.)

— Σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὁ τοῦ ἐνόησεν,
ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴπερ τε νοήσῃ,
ἀλλά τέ οἱ βράσσων τε νόος λεπτὴ δέ τε μῆτις.

(Hom. Il. X, 224 sqq.)

— Τάδ' ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου, κακά.

(S. Oed. R. 1280.)

Τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
ψυχὰν χαλεπὸν βάρος.

(E. Hippol. 259 sq.)

*Τοιοῦτός εἰμι χαὐτὸς, εὐθεῖαν λόγων
τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.

(E. Rhes. 422 sq.)

* . . . φιλῶ λέγειν
τἀληθὲς ἀεὶ, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.

(E. Rhes. 394 sq.)

— Ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν ὀφείλομεν.

(E. Alcest. 712.)

— . . . ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει· μωρίαν τ' ὀφλισκάνει.

(S. Iphig. T. 487 sq.)

Duritas (cf. Ferrum, Lapis).

Οὐδέ τις ἀποτόμου λήματός ἐστιν αἰδώς.
(E. Alcest. 981.)

— Πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ.
(Hom. Il. XVII, 421.)

— Σκληρὰ μαλθακῶς λέγων.
(S. Oed. Col. 774.)

. . . στεῤῥὰν παιδείαν
Μοῖραι συντείνουσι θεαί.
(E. Iphig. T. 206 sq.)

— Ὦ πονηρὲ, μὴ τὰ μαλακὰ μώεο, μὴ τὰ σκλήρ' ἔχῃς.
(Epicharm. ap. Stob. I, 101.)

Ebrietas, Vinolentia, v. Vinum (cf. Potus).

Educatio (cf. Disciplina, Doctrina, Literae).

Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς.
(Men. Monost. Meinecke, v. IV, p. 340.)

Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
(Men. Monost.)

Αὐτὸν οὐ τρέφων, κύνας τρέφεις;
(Philiad.)

Βακτρία γάρ ἐστι παιδεία βίου.
(Men. Monost.)

Δείξεις ἐν ἐχθροῖς, οἷος ἐξ οἵου 'τράφης.
(S. Aias, 557.)

Ἔχει γε μέντοι καὶ τὸ τρεφθῆναι καλῶς
δίδαξιν ἐσθλοῦ.
(E. Hecab. 600 sq.)

Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.
(Democrit. Stob. M. Flor. XVI, 63.)

Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ, καὶ γὰρ τιμὴν ἔχει καὶ τὸ λυσιτελές.
(Pythag. Demophil. Or. I.)

Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
(Men. Monost. Meinecke, v. IV, p. 347.)

Κἀν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
(Men. Monost.)

Μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται.
(Prov.)

. . . ὁ δ' ὀρθὸς
ἐσθλὸν σαφὲς αἰεί·
τροφαί θ' αἱ παιδευόμεναι
μέγα φέρουσ' εἰς ἀρετάν.

τό τε γὰρ αἰδεῖσθαι σοφία,
τάν τ' ἐξαλλάσσουσαν ἔχει
χάριν.

(E. Iphig. A. 559 sqq.)

Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.

(Men.)

Οὐ γάρ τις οὕτω παῖδας εὖ πεπαίδευται,
ὡς ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

(E. Fr. incert. XXXVIII.)

Οὐδὲ τοὺς τῆς Δημητρὸς καρποὺς καλλίστους καὶ τροφιμωτάτους ὄντας, εὐθὺς ἐκ γενετῆς τοῖς παισὶν ἁρμόζειν· τὸ δὲ γάλα τῶν τιτθῶν.

(Arcesil. Stob. M. Flor. XVI, 27.)

Πηγὴ καὶ ῥίζα καλοκἀγαθίας ἡ νόμιμος παιδεία.

(Prov.)

Τεκνοτροφίη σφαλερόν.

(Prov.)

Τῆς παιδείας αἱ μὲν ῥίζαι πικραί, ὁ δὲ καρπὸς γλυκύς.

(Isocrates.)

Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.

(Men. Monost.)

Τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει.

(E. Suppl. 911.)

Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς
κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

(Men. incert. Meinecke, v. IV, p. 262.)

Τροφαί θ' αἱ παιδευόμεναι
μέγα φέρουσιν εἰς ἀρετάν.

(E. Iphig. A. 562 sq.)

Τροφὴ καὶ παίδευσις χρηστὴ σωζομένη φύσεις ἀγαθὰς ἐμποιεῖ.

(Plato.)

— Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

(E. Fr. incert. 185.)

Effugium, v. Fuga.

Τίς ἂν οὖν τάδ' ἂν ἢ θεὸς ἢ βροτὸς ἢ
τι τῶν ἀδοκήτων
πόρον ἄπορον ἐξανύσας;

(E. Iphig. T. 895 sqq.)

Egestas, v. Paupertas, Necessitas.

Ego (Me, Mihi). *—* Ego—Tu (Me—Te) (Mihi—Tibi) (Meus—Tuus) (Noster—Vester) (cf. Ipse, Meus, Tuus, Sibi).

Ἐγὼ γάρ εἰμι τῶν ἐμῶν ἐμὸς μόνον.

(Apollod. Meinecke. v. IV, p. 447.)

— Μήδ' ἐξομόρξει μωρίαν τὴν σὴν ἐμοί.
(E. Bacch. 345.)

— Ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν.
(S. Aias, 1313.)

— Σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.
(S. Aias, 942.)

— Σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δ' ἐναντία.
(E. Suppl. 466.)

— Σπάρτην ἔλαχες· κείνην κόσμει,
τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.
(E. Fr. Teleph. XIII.)

Σύ τοι λέγεις νιν, οὐκ ἐγὼ, σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοῖς λόγοις εὑρίσκεται.
(S. Electra, 624 sq.)

— Τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών,
ἄλλος δ' ὁ χρῄζων αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
(E. Iphig. A. 810 sq.)

— Ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὁτιοῦν ἄν σοι δοκῇ,
ἐγὼ δ' ὑπὲρ ἐμοῦ.
(Anaxand. Meinecke, v. III. p. 199.)

Egressus, v. Effugium.

— Καλλίονες τἄρ' εἴσοδοι τῶν ἐξόδων πάρεισιν ἡμῖν.
(E. Hercul. Fur. 623.)

Eloquentia (cf. Locutio, Oratio).

. . . ὃς δ' εὐγλωσσίᾳ
νικᾷ, σοφὸς μὲν, ἀλλὰ γὰρ τὰ πράγματα
κρεῖσσον νομίζω τῶν λόγων ἀεί ποτε.
(E. Fr. Antiop. XXVIII.)

Πολλαχοῦ γὰρ ἐνθουσιᾶν δοκοῦντες οὐ βακχίουσιν, ἀλλὰ παίζουσιν.
(Longinus.)

Στάσκεν. ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ' οὔτ' ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
ἀλλ' ἀστεμφὲς ἔχεσκεν, ἀΐδρεϊ φωτὶ ἐοικώς,
φαίης κὲν ζάκοτόν τέ τιν' ἔμμεναι, ἄφρονά θ' αὔτως·
ἀλλ' ὅτε δή ῥ' ὄπα τε μεγάλην ἐκ στήθεος ἵει,
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
οὐκ ἂν ἔπειτ' Ὀδυσῆΐ γ' ἐρίσσειε βροτὸς ἄλλος·
οὐ τότε γ' ὧδ' Ὀδυσῆος ἀγάσσαμεθ' εἶδος ἰδόντες.
(Hom. Il. III. 216 sqq.)

Eminentia, v. Splendor.

Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.
(Hom. Il. XI, 783.)

Epulum.

Τὰ πολλὰ τοῖς πολλοῖσιν δείπνου χάριν.

(Cl. Alex. Paedag. II, I. 5, 166.)

Equus.

Ἵππῳ γηράσκοντι τὰ μείονα κεῖκελ' ἐπίβαλλε.

(Prov.)

Error, Erratio (cf. Peccatum, Fallacia).

Ἀπὸ σκοποῦ ἁμαρτάνειν.

(Prov.)

Ἐννοέει δὲ, ὡς σύμφυτον τὸ ἁμαρτάνειν ἀνθρώποις.

(Antipater.)

Ὅταν ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος,
μάλιστα γὰρ οὕτω σώζεται τὸ συμφέρον.

(Philippid. Meinecke, v. IV, p. 469.)

Σύγγνωθ'· ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.

(E. Hippol. 615.)

Τῇ πᾶσιν ὁδῷ ἁμαρτάνεσθαι.

(Prov.)

Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι.

(E. Hippol. 916.)

Erubescere, v. Rubor (cf. Pudor).

Esse, v. Videri.

Evanidus.

. . . ὅτε μου
φροῦδα τὰ χρήματα, φρούδη χροιά, φρούδη ψυχή,
φρούδη δ' ἐμβάς· καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς
ὀλίγου φροῦδος γεγένημαι.

(Ar. Nub. 717.)

Eventus, v. Sors.

Exaggeratio.

Δεινώσας πάντα ἐπὶ τὸ μεῖζον.

(Thucydides.)

Πᾶσι γὰρ οὗτος κήρυξι νόμος·
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.

(E. Heraclid. 292.)

Exercitatio (cf. Labor).

Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν· τούτου δ' ἂν ἐπιτύχοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

(Isocr. ad Demon.)

Ἄσκησις ὑγιείας ἀκορίη τροφῆς.

(Hippocrat.)

Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσιος.

(Democrit. Stob. XXIX, 66.)

Exilium, v. Peregrinatio, Patria.

Existimatio, Opinio, Auctoritas.

Κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

(E. Orest. 886.)

Τό τ' ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.

(E. Fr. Ino, VI.)

Experientia, Experimentum (cf. Tentamen, Peritia, Periculum).

. . . διάπειρά τοι
βροτῶν ἔλεγχος.

(Pind. Olymp. IV, 28 sq.)

— Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

(Theognis, 571 sq.)

Ἔδειξας εἰς ἔλεγχον ἐξελθών, ὃς εἶ.

(E. Alcest. 640.)

Ἐν Καρὶ τὸν κίνδυνον ἐν ἐμοὶ δὴ δοκεῖ
πρώτῳ πειρᾶσθαι.

(Crates, IV, Meinecke, v. II, 30.)

Ἐν Καρὶ τὸν κίνδυνον οἶσθα, δέσποτα.

(Phil. Meinecke, v. IV, p. 8.)

Ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων, ὅττι πράξει.

(S. Aias, 1417 sqq.)

Οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ' εὖ εἰδώς.

(Hom. Od. II, 170.)

Πεῖρά τοι μαθήσεως ἀρχά.

(Alcman.)

Σοφώτατον πάντων πεῖρά ἐστιν.

(Lasos ap. Aristotel. Stob. XXIX.)

Vide: *Sapientia:* Οἱ πειρᾶν. — *Senectus:* Τὸ γῆρας. — *Sero:* Ῥεχθὲν.

Exploratio (cf. Quaestio, Indigatio).

Μισῶ γὰρ, ὅστις τἀφανῆ περισκοπεῖ.

(S. Fr. incert. 90.)

Exspectatio, Spes.

Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος,
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

(Diphil. Stob. CV, 5.)

Βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον·
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην.

(S. Antigone, 388 sq.)

. . . Δοκεῖν δὲ τἀδόκητ' οὐ χρή, γέρον.

(E. Hercul. Fur. 92.)

Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μήποτε πρῆγμα τόδ' ἔσται·
θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος·
καὶ πρῆξαι μέντοι τι. καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
καὶ κακὸν ἐξ ἀγαθοῦ· καί τε πενιχρὸς ἀνὴρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται
ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ·
καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

(Theognis, 659 sq.)

Οὕτω τι πρᾶγμά ἐστιν ἐπίπονον τὸ προσδοκᾶν.

(Men. Stob. CX, 9.)

Τὸ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν.

(Men. Cl. 16.)

Facies, Vultus (cf. Oculus, Forma).

Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.

(E. Medea, 219.)

— Εἰκάζω ἀπὸ τοῦ προσώπου τὴν τῆς καρδίας διάθεσιν.

(Prov.)

— Καλὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες.

(Philem. Cl. 300.)

— Πολλοῖσι θνητῶν ἡ μὲν ὄψις εὐγενής,
ὁ νοῦς δ' ἐν αὐτῇ δυσγενὴς εὑρίσκεται.

(Sclerius, Stob. II, 9.)

Τὸ μὲν πρόσωπον ἡδύ, τὰν δόμοισι δὲ
λυπηρά.

(E. Ion, 622 sq.)

Τό τε τῆς ἀγανόφρονος ἡσυχίας
εὐάμερον πρόσωπον.

(Ar. Aves, 1321 sq.)

Factum (cf. Dictum, Locutio, Sermo).

— Ἅμα ἔπος, ἅμα ἔργον.

(Prov.)

Ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον.

(A. Sept. Contr. Theb. 554.)

Ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.

(E. Phoen. 916.)

— Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.

(Men. Stob. I, 11.)

— Δρᾶν μὲν σύγ' οὐχ οἷόστε, βούλεσθαι δ' ἴσως.
(E. Heraclid. 692.)

Δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
(A. Prom. Vinct. 72.)

— Ἐγὼ τὰ μὲν ἔργα αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα.
(Pelopid. ap. Stob. XXXXII, 83.)

— Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν. μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς πράττειν.
(Epictet. Stob. I, 52.)

— Ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς.
(Aristotel. Polit. II.)

— Ἐπιδείκνυσο, μὴ ἐν τοῖς λόγοις, ἃ φρονεῖν, ἀλλ' ἐν τῷ ἔργῳ, ἃ ποιεῖν χρεών.
(Pythagor. Stob. M. Flor. III, 34.)

— (Ἡ) γλῶσσ' ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχει(ς),
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον.
(S. Fr. 209.)

— Κλαίοις ἄν, εἰ πράσσοις, ἃ μὴ πράσσειν σε δεῖ.
(E. Iphig. A. 306.)

— . . . κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρῶμεν, οὐκ ἔτ' ἐξαργούμενα.
(S. Philoctet. 555 sq.)

— Μόνου γὰρ τούτου καὶ θεὸς στερίσκεται·
ἀγένητα ποιεῖν, ὅσσ' ἂν ᾖ πεπρωμένα.
(Agathon.)

— Οὐδεὶς γὰρ, ὃ νοεῖς, οἶδεν, ὃ δὲ ποιεῖς, βλέπει.
(Men. Monost. Stob. III, 25.)

— Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλὰ εὖ ποιεῖν·
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.
(Posidipp. Meinecke, v. IV, p. 526.)

— Οὔκουν ἐν οἷς γε δρᾷς, ἐν οἷς δ' αὐδᾷς ὀκνῶ.
(S. Philoctet. 907.)

— Οὐ μέμφομαί σε, δρῶν γὰρ εὖ κακῶς λέγεις.
(S. Fr. 734.)

— . . . οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
(S. Aias, 581 sq.)

Ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
(Ar. Lysistr. 123.)

Ποίει, ἃ κρίνεις εἶναι καλὰ, κἂν ποιῶν μέλλῃς ἀδοξεῖν.
(Pythagoras.)

— Πολλοὶ δρῶντες τὰ αἴσχιστα, λόγους τοὺς ἀρίστους ἀσκέουσιν.
(Democrit. Stob. M. Flor. III, 31.)

Πρᾶττε ἀμεταμέλητα.
(Cleobul.)

Πράττειν μὲν δεῖ τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως.
(Aristotel. Ethic. VI, 9.)

— Πρᾶττε μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.
(Pythagor. Stob. I. 24.)

Πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάπτει· λόγισαι δὲ πρὸ ἔργου.
(Pythagor. Stob. III. 21.)

. . . σοὶ δὲ δρᾶν ἔξεσθ', ἃ χρή.
(S. Aias, 1373.)

— . . . τὰ δ' ἔργα τοῖς λόγοις εὑρίσκεται.
(S. Electra, 625.)

— Τί δ'; οὐκ ἀκούειν ἔστι καὶ μὴ δρᾶν, ἃ μὴ
χρῄζεις;
(S. Oedip. Col. 1175 sq.)

Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
(E. Medea, 748.)

. . . τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν;
(S. Trachin. 742 sq.)

— Τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ', ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
(E. Iphig. A. 1115 sq.)

— Τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν
ἀποίητον οὐδ' ἂν
χρόνος, ὁ πάντων πατήρ,
δύναιτο θέμεν ἔργων τέλος.
(Pind. Olymp. XVI, 32.)

Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον.
(Philem. Meinecke, v. IV, p. 10.)

— Χωρεῖν ἕτοιμος· κοὐ λόγῳ δείξω μόνον,
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
(S. Aias, 813 sq.)

Facundia, v. Eloquentia.

Falsum, Mendacium, Deceptio (cf. Verum).

Ἀλλ' εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανόν, νομίζειν χρή γε καὶ τοὐναντίον·
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.
(E. Fr. Kressa. XV.)

Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.
(S. Fr. 59.)

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον

γίγνεται· οὐδέ τι καλὸν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

(Theognis, 607 sqq.)

Ἦ θαῦμα τὰ πολλὰ,
καί πού τι καὶ βροτῶν φρένα
ὑπὲρ τὸν ἀληθῆ λόγον
δεδαιδαλμένοι ποικίλοις
ἐξαπατῶντι μῦθοι.

(Pind. Olymp. XIII, 43.)

Ἦ που χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.

(Men. Stob. XII, 9.)

Κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

(S. Philoctet. 842.)

— Κρεῖττον δ' ἑλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.

(Men. incert. Meinecke, v. IV, p. 292.)

Μηδὲ ψεύδεσθαι γλώσσης χάριν.

(Hes. Op. 717.)

Μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.

(Hom. Il. IV, 404.)

Οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι λέγοντες καὶ ἀπαγγέλλοντες, οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν.

(Thucydides.)

Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

(S. Fr. 717.)

Οὐκ' ἔσθ' ὅπως λέξαιμι, τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.

(A. Agam. 620 sq.)

Οὐ νέμεσις, καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

(Pisander, Stob. XII, 6.)

Πότερα θέλεις; σοὶ μαλθακὰ ψευδῆ λέγω,
ἢ σκλήρ' ἀληθῆ; σὴ γὰρ ἡ κρίσις.

(E. Fr. incert. 15.)

. . . τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι;

(Hom. Od. XIV, 364 sq.)

Τοῦτο φαῦλον τοῖς ψευδομένοις παρακολουθεῖ· τὸ μηδ' ἂν τἀληθῆ λέγωσιν ἔτι πιστεύεσθαι.

(Democrit. Stob. XII, 18.)

— Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.

(Stob. XII, 16.)

Ψεύδεσθαι προχειρότερον τοῖς πολλάκις ἁμαρτάνουσιν.

(Lysias, Stob. XII 21.)

Ψευδόμεθα μέν· πῶς δ' ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

(Epictet, Enchir. 51.)

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.

(Men. Cl. 208.)

— Ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
(Hom. Od. XIV, 125.)

Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.
(Men. Stob. XII, 16.)

Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστίν.
(Hom. Od. III, 20.)

Ψεῦσται τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι.
(Hom. Il. XXIV, 261.)

Vide: *Conscientia:* [illegible]. — *Miseratio:* [illegible]. — *Opprobrium:* Τὸ ψεῦδος.

Fama (cf. Rumor, Gloria).

. . . δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
(Hes. Op. 758.)

Δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράσημος ἐνείη.
(E. Hippol. 1114.)

[illegible]
(E. Fr. Palam. 1.)

[illegible]
(Hom. Od. VI, 29 sq.)

[illegible]
(Prov.)

[illegible]
(E. Fr. [illegible] XVII.)

[illegible]
([illegible] Fr. [illegible])

[illegible]
(E. Fr. [illegible] IV.)

[illegible]
(Hom. Od. I, 95.)

[illegible]
(Hom. Il. [illegible])

[illegible]
(Hom. Il. [illegible] sq.)

[illegible]
([illegible])

[illegible]
([illegible])

[illegible]
([illegible])

[illegible]
([illegible])

Τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται;

(S. Oed. Col. 258 sq.)

. . . τί δὲ κάλλιον ἀνδρί κεν εἴη
ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;

(Theocrit. XVII [XV], 116 sq.)

Φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι,
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίζουσιν· θεός νύ τίς ἐστι καὶ αὐτή.

(Hes. Op. 759 sqq.)

Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς, ἢ 'πὶ τοῖς καλοῖς πλέον.

(S. Fr. 194.)

Fames (cf. Venter).

Ἀνὴρ δ' οὐδείς, πρὶν ἂν φάγῃ.

(S. Fr. 149.)

Ἅπανθ' ὁ λιμὸς γλυκέα, πλὴν αὐτοῦ ποιεῖ.

(Antiphanes.)

Ἐγὼ δὲ πεινῶσ' οὐ πρὸς ἴτρια βλέπω.

(S. Fr. 199.)

Ἡ πεῖνά ἐστι τοῦ δείπνου ὄψον.

(Athenaeus.)

Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.

(Men. Monost. Meineke, v. IV, p. 349.)

Λιμῷ δ' οἴκτιστον θανέειν, καὶ πότμον ἐπισπεῖν.

(Hom. Od. XII, 342.)

Πεινῶντι μὴ προσέλθῃς.

(Prov.)

Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

(Comic.)

Ὡς οὐδὲν λιμοῖο κακώτερον, οὐδὲ βαρείης
γαστέρος, ἣ κρατέει μὲν ἐν ἀνθρώποισιν ἀπηνής.

(Oppian.)

Familia, Genus, Stirps (cf. Domus).

Ἦ μὴ γενοίμαν, ἢ
πατέρων ἀγαθῶν
εἴην, πολυκτήτων
τε δόμων μέτοχος.
εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
ἀλκᾶς οὐ σπάνις εὐγενέταις·
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων
τιμὰν καὶ κλέος οὔτοι

λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος.

(E. Androm. 766 sqq.)

Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχες,
ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή.

(Men. incert. Cl. 228.)

Fatum, Sors (cf. **Mors**).

Ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ' ἄν νιν ὄλβος, οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.

(S. Antigone, 951 sqq.)

⟨Ἀλλ' ἐξυφηγοῦ·⟩ γνῶθι δ' ὡς ἔχων ἔχει,
καί σ' εἷλεν ἡ τύχη.

(S. Oed. Col. 1025 sq.)

Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
πάντα τοι φλεγέθει κἀν
σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.
πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων δά-
σκιοί τε τείνουσιν πόροι,
κατιδεῖν ἄφραστοι.

(A. Suppl. 86 sqq.)

. . . ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα.

(Hom. Il. XIX, 86 sq.)

Κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

(Hom. Il. II, 834.)

Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν.

(Solon, IV, 63.)

Μοίραισι δ' ἀναλθέα φάρμακα πάντα.

(Bion, Stob. Ecl. I, VI, 7.)

Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

(Hom. Il. VI, 488 sqq.)

Μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται
μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτῆς κρατεῖ.

(Men. incert. Stob. Ecl. I. VI, 8.)

Μόρσιμα δ' οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται.

(E. Heraclid. 615.)

Οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

(S. Fr. Stob. Ecl. I. VI, 10.)

Οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον. (A. Sept. Contr. Theb. 281.)

Οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος. (E. Hercul. Fur. 1314.)

Οὐδ' ἐστὶ μοίρας τοῦ χρεών τ' ἀπαλλαγή. (Incerti auctoris.)

. . . οὐδέ τι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή. (Hom. Il. XIX, 410.)

Οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον. (E. Rhesus, 634.)

Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην. (A. Sept. Contr. Theb. 406.)

Οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον. (A. Fr. 286.)

. . . πάλαι πεπρωμένος αἴσῃ. (Hom. Il. XXII, 179.)

Πάντων ἄριστον, μὴ βιάζεσθαι θεοὺς,
στέργειν δὲ μοῖραν. (Stob. CVIII, 23.)

. . . παρὰ δ' ἄλλων ἄλλα
μοῖρα διώκει. (E. Heraclid. 611 sq.)

. . . πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή. (S. Antigone, 1357 sq.)

Πολλὰ γὰρ τίκτει
μοῖρα τελεσσιδώτειρ'
αἰών τε, Κρόνου παῖς. (E. Heraclid. 898 sqq.)

Τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκαίων, οὔθ' ὑπολείβων,
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει. (A. Agam. 68 sqq.)

Τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα. (A. Prom. Vinct. 103 sq.)

Τὸ δαιμόνιον οὐχ' ὁρᾷς,
ὅπῃ μοίρας διεξέρχεται,
στρέφει δ' ἄλλους
ἄλλως εἰς ἁμέραν. (E. Fr. Stob. Ecl. I, VI, 2.)

. . . τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε. (Hom. Il. XIII, 602.)

Τύχα, τύχα, δυσπάλαιστος ἥκει. (E. Alcest. 889.)

Ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη
Μοῖρα, λιταῖς ἄτρωτε δυστήνων βροτῶν,
πᾶν τλῆμ' ἀνάγκης στυγνὸν ἢ κατ' αὐχένων
ἡμῶν ἐρείδεις τῆς τε λατρείας ζυγόν.

(Moschion. Stob. Ecl. I, V, 1.)

Ὦ μοῖρα, κεδνῶν καὶ κακῶν κυνηγέτι.

(Stob. Ecl. I, VI, 9.)

Felicitas (cf. Miseria, Sors, Mutatio, Vita).

. . . ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.

(S. Trach. 230 sq.)

Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ
τέρας ἐστὶν, εἴ τις ηὐτύχηκε διὰ βίου.

(Bato. Meinecke. v. IV, p. 499.)

. . . βροτῶν
οὐδένα μακαρίζω,
ὅστις καθ' ὑπερβολὰν
τοξεύσας ἐκράτησε τοῦ
πάντ' εὐδαίμονος ὄλβου.

(S. Oedip. R. 1194 sqq.)

Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται·
ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

(E. Fr. Antiope, XXXII.)

Εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν.

(E. Hippol. 700.)

. . . ἐν ὀλβίῳ ὄλβια πάντα.

(Theocrit. XV [XIV]. 24.)

— . . . ἑλισσόμεσθ' ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.

(E. Ion. 1504 sqq.)

. . . ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες.

(E. Orest. 886 sq.)

Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις.

(E. Heraclid. 745.)

Εὐτυχεῖν ἐπίσταμαι.

(E. Ion. 650.)

Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δ' ὁ πολλοῖσι δυσθυμεόμενος.

(Democrit. Stob. CIII, 17.)

Εὐτυχία πολύφιλος.
(Prov.)

Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας ἀνοητότερος γίγνεται.
(Epictet. I. 63.)

— Εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος.
(Periander.)

— Ἔχει λόγον καὶ τοῦτο τῶν πολλῶν βροτῶν·
δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
(E. Fr. Antiope, XLIII.)

Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
(E. Medea, 1228 sqq.)

— Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.
(E. Fr. Ino, XXI.)

Οὐ γάρ τις ἐπιχθονίων πάντ' εὐδαίμων ἔφυ.
(Bacchylid. Stob. CIII, 2.)

Οὐδεὶς ἂν οὕτως εὐτυχεῖ κακὸς γεγώς.
(S. Fr. Aletes, 94.)

Οὐκ ἔστιν, ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.
(E. Fr. Sthenob. I.)

Τὴν εὐτυχίαν κρύπτε.
(Pittacus.)

Τί δ' οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς;
(E. Fr. Archel. XVII.)

Τί δ'; εὐτυχοῦντες οὐκ ἐπίστανται φέρειν;
(E. Suppl. 122.)

Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ,
εὐδαιμονεῖ τε κ' αὖθις οὐκ εὐδαιμονεῖ.
(E. Fr. Antiope, XLIV.)

Τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμῆσαι βροτῶν
οὐκ ἔστιν ὄντως, ὄντιν' εὑρήσεις ἕνα.
(S. Fr. Phaedr. 610.)

Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.
(E. Fr. Alcmene, V.)

Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γράφει θεός.
(E. Fr. Peleus, IV.)

Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
(Comic.)

Τῶν δ' εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
(Men. Monost. Meinecke, v. IV, p. 354.)

Ὦ δέσποτ', οὐδεὶς εἶδεν, ἄνθρωπος γεγώς,
οὔτ' εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.

(E. Fr. Chrys. IV.)

Ὥστ' οὔ τις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.

(E. Fr. Alex. III.)

Femina, Mulier, v. Virgo, Uxor (cf. Matrimonium, Maritus, Amor), *Dos.

*—*Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον,
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

(Philem. incert., Meinecke, v. IV, p. 50.)

*—*Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.

(E. Orest. 605 sq.)

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

(Philem. incert., Meinecke, v. IV, p. 62.)

Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν,
κάθευδ' ἀηδῶς ἡδέως μασώμενος.

(Philippid., Meinecke, v. IV, p. 476.)

Αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

(E. Iphig. A. 830.)

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ, καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' ἐς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

(E. Fr. Mel. Vinct. XVIII.)

Ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακὸν,
γυναῖκες·

(E. Medea 889 sq.)

. . . ἀλλ' ὅμως χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείας φύσεις.

(E. Androm. 955 sq.)

Ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει
γυναικῶν οὐδὲν κάκιον εἰς ἅπαντα, πλὴν
ἄρ' ἢ γυναῖκες.

(Ar. Thesmoph. 531 sq.)

Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.

(E. Fr. Oedip. VIII.)

*—*Ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν.

(E. Hippol. 966 sq.)

. . . ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἐσθ' ὁ μετριώτατον λαβών.

(Men. incert., Meinecke, v. IV, p. 228.)

. . . ἀνὴρ μὲν ἐκ δόμων
θανὼν ποθεινός· τὰ δὲ γυναικὸς ἀσθενῆ.

(E. Iphig. T. 1005 sq.)

. . . ἀντὶ γὰρ πυρὸς
πῦρ ἄλλο μεῖζον ἠδὲ δυσμαχώτερον
ἔβλαστον αἱ γυναῖκες.

(E. Fr. Hippol. VIII.)

Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.

(Hippothoon, Stob. LXVII, 14.)

Ἄστοργον δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν.

(Theocrit. XVII [XVI], 43.)

Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα
ἡμῖν.

(Ar. Lysistrat. 450 sq.)

Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γνώμην ἀρίστην τῇ γυναικὶ μὴ λέγε·
γνώμῃ γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.

(Men. incert., Meinecke, v. IV, p. 209.)

Γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

(E. Helen. 328.)

Γυναῖκα γὰρ χρῆν πάντα συγχωρεῖν πόσει,
ἥτις φρενήρης.

(E. Electra, 1052 sq.)

Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.

(Chaerem. Meinecke, v. IV, p. 690.)

Γυναῖκες ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

(E. Medea 418.)

Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλλοιτό τις.

(E. Fr. Auge, IV.)

Γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλων γένος,
σώζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται.

(E. Iphig. T. 1061 sq.)

Γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν
κάλλιστον, εἴσω θ' ἥσυχον μένειν δόμων.

(E. Heraclid. 476 sq.)

Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.

(Men. Monost., Meinecke, v. IV, p. 343.)

Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

(E. Fr. incert. 34.)

Γυναικὶ κόσμος ὁ τρόπος, μὴ τὰ χρυσία.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γυναικί τ' ἐχθρὸν κτῆμα πρεσβύτης ἀνήρ.

(E. Fr. Danaë 11.)

Πράττειν μὲν δεῖ τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως.
(Aristotel. Ethic. VI, 9.)

— Πρᾶττε μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.
(Pythagor. Stob. I. 21.)

Πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάπτει· λόγισαι δὲ πρὸ ἔργου.
(Pythagor. Stob. III. 21.)

. . . σοὶ δὲ δρᾶν ἔξεσθ', ἃ χρή.
(S. Aias, 1373.)

— . . . τὰ δ' ἔργα τοῖς λόγοις εὑρίσκεται.
(S. Electra, 625.)

— Τί δ'; οὐκ ἀκούειν ἔστι καὶ μὴ δρᾶν, ἃ μὴ
χρῄζεις;
(S. Oedip. Col. 1175 sq.)

Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
(E. Medea, 748.)

. . . τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν;
(S. Trachin. 742 sq.)

— Τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ', ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
(E. Iphig. A. 1115 sq.)

— Τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν
ἀποίητον οὐδ' ἂν
χρόνος, ὁ πάντων πατήρ,
δύναιτο θέμεν ἔργων τέλος.
(Pind. Olymp. XVI, 32.)

Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον.
(Philem. Meinecke, v. IV, p. 10.)

— Χωρεῖν ἕτοιμος· κοὐ λόγῳ δείξω μόνον,
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
(S. Aias, 813 sq.)

Facundia, v. Eloquentia.

Falsum, Mendacium, Deceptio (cf. Verum).

Ἀλλ' εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανὸν, νομίζειν χρή γε καὶ τοὐναντίον·
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.
(E. Fr. Kressa, XV.)

Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.
(S. Fr. 59.)

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον

γίγνεται· οὐδέ τι καλὸν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

(Theognis, 607 sqq.)

Ἦ θαῦμα τὰ πολλὰ,
καί πού τι καὶ βροτῶν φρένα
ὑπὲρ τὸν ἀληθῆ λόγον
δεδαιδαλμένοι ποικίλοις
ἐξαπατῶντι μῦθοι.

(Pind. Olymp. XIII, 43.)

Ἦ που χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.

(Men. Stob. XII, 9.)

Κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

(S. Philoctet. 842.)

— Κρεῖττον δ' ἑλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.

(Men. incert. Meinecke, v. IV, p. 292.)

Μηδὲ ψεύδεσθαι γλώσσης χάριν.

(Hes. Op. 717.)

Μὴ ψεῦδε' ἐπιστάμενος σάφα εἰπεῖν.

(Hom. Il. IV, 404.)

Οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι λέγοντες καὶ ἀπαγγέλλοντες, οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν.

(Thucydides.)

Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

(S. Fr. 717.)

Οὐκ' ἔσθ' ὅπως λέξαιμι, τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.

(A. Agam. 620 sq.)

Οὐ νέμεσις, καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

(Pisander, Stob. XII, 6.)

Πότερα θέλεις; σοὶ μαλθακὰ ψευδῆ λέγω,
ἢ σκλήρ' ἀληθῆ; σὴ γὰρ ἡ κρίσις.

(E. Fr. incert. 15.)

. . . τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι;

(Hom. Od. XIV. 364 sq.)

Τοῦτο φαῦλον τοῖς ψευδομένοις παρακολουθεῖ· τὸ μηδ' ἂν τἀληθῆ λέγωσιν ἔτι πιστεύεσθαι.

(Democrit. Stob. XII, 18.)

— Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.

(Stob. XII, 16.)

Ψεύδεσθαι προχειρότερον τοῖς πολλάκις ἁμαρτάνουσιν.

(Lysias, Stob. XII 21.)

Ψευδόμεθα μέν· πῶς δ' ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

(Epictet, Enchir. 51.)

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.

(Men. Cl. 208.)

— Ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι. (Hom. Od. XIV, 125.)

Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος. (Men. Stob. XII, 16.)

Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστίν. (Hom. Od. III, 20.)

Ψεῦσταί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι. (Hom. Il. XXIV, 261.)

Vide: *Conscientia:* Ἅπαντες. — *Miseratio:* Μηδὲν. — *Opprobrium:* Τὸ ψεῦδος.

Fama (cf. Rumor, Gloria).

. . . δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην. (Hes. Op. 758.)

Δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράσημος ἐνείη. (E. Hippol. 1114.)

Ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,
δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν. (E. Fr. Palam. I.)

Ἐκ γὰρ τοιούτων φάτις ἀνθρώπου ἀναβαίνει
ἐσθλή. (Hom. Od. VI, 29 sq.)

Εὔκλειαν ἂν κτήσαιο μᾶλλον ἢ ψόγον. (Prov.)

Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων. (E. Fr. Androm. XVII.)

Εὔκλειαν ⟨ὑμῖν πατρὸς⟩ ἀπόλαυσιν καλήν. (E. Hercul. Fur. 1370.)

Ἔχει δὲ καὶ ταῦτ' οὐχὶ μικρὸν, εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν. (E. Fr. Archel. XV.)

Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν. (Hom. Od. I, 95.)

Ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν, οὐδέ τι ἴδμεν. (Hom. Il. II, 486.)

Ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει. (Hom. Il. IV. 442 sq.)

Καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται. (A. Sept. Contr. Theb. 54.)

Μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι,
μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα δόξαν. (Cleanth. Clem. Alex. Str. V. 655.)

Πάντα τύχη καὶ μοῖρα περίκλεες ἀνδρὶ δίδωσιν. (Men. incert. Stob. Ecl. I. VII. 3.)

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ. (S. Fr. 714.)

Τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται;

(S. Oed. Col. 258 sq.)

. . . τί δὲ κάλλιον ἀνδρί κεν εἴη
ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;

(Theocrit. XVII [XV], 116 sq.)

Φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι,
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίζουσιν· θεός νύ τίς ἐστι καὶ αὐτή.

(Hes. Op. 759 sqq.)

Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς, ἢ 'πὶ τοῖς καλοῖς πλέον.

(S. Fr. 194.)

Fames (cf. Venter).

Ἀνὴρ δ' οὐδείς, πρὶν ἂν φάγῃ.

(S. Fr. 149.)

Ἄπανθ' ὁ λιμὸς γλυκέα, πλὴν αὑτοῦ ποιεῖ.

(Antiphanes.)

Ἐγὼ δὲ πεινῶσ' οὐ πρὸς ἴτρια βλέπω.

(S. Fr. 199.)

Ἡ πεῖνά ἐστι τοῦ δείπνου ὄψον.

(Athenaeus.)

Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.

(Men. Monost. Meinecke, v. IV, p. 349.)

Λιμῷ δ' οἴκτιστον θανέειν, καὶ πότμον ἐπισπεῖν.

(Hom. Od. XII, 342.)

Πεινῶντι μὴ προσέλθῃς.

(Prov.)

Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

(Comic.)

Ὡς οὐδὲν λιμοῖο κακώτερον, οὐδὲ βαρείης
γαστέρος, ἣ κρατέει μὲν ἐν ἀνθρώποισιν ἀπηνής.

(Oppian.)

Familia, Genus, Stirps (cf. Domus).

Ἦ μὴ γενοίμαν, ἢ
πατέρων ἀγαθῶν
εἴην, πολυκτήτων
τε δόμων μέτοχος.
εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
ἀλκᾶς οὐ σπάνις εὐγενέταις·
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων
τιμὰν καὶ κλέος οὔτοι

λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος.

(E. Androm. 766 sqq.)

Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχες,
ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή.

(Men. incert. Cl. 228.)

Fatum, Sors (cf. Mors).

Ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ' ἄν νιν ὄλβος, οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.

(S. Antigone, 951 sqq.)

⟨Ἀλλ' ἐξυφηγοῦ·⟩ γνῶθι δ' ὡς ἔχων ἔχει,
καί σ' εἷλεν ἡ τύχη.

(S. Oed. Col. 1025 sq.)

Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
πάντα τοι φλεγέθει κἀν
σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.
πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων δά-
σκιοί τε τείνουσιν πόροι,
κατιδεῖν ἄφραστοι.

(A. Suppl. 86 sqq.)

. . . ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα.

(Hom. Il. XIX, 86 sq.)

Κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

(Hom. Il. II, 834.)

Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν.

(Solon, IV, 63.)

Μοίραισι δ' ἀναλθέα φάρμακα πάντα.

(Bion, Stob. Ecl. I, VI, 7.)

Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

(Hom. Il. VI, 488 sqq.)

Μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται
μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτῆς κρατεῖ.

(Men. incert. Stob. Ecl. I. VI, 8.)

Μόρσιμα δ' οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται.

(E. Heraclid. 615.)

Οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

(S. Fr. Stob. Ecl. I. VI, 10.)

Οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον. (A. Sept. Contr. Theb. 281.)

Οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος. (E. Hercul. Fur. 1314.)

Οὐδ' ἐστὶ μοίρας τοῦ χρεών τ' ἀπαλλαγή. (Incerti auctoris.)

. . . οὐδέ τι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή. (Hom. Il. XIX, 410.)

Οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον. (E. Rhesus, 634.)

Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην. (A. Sept. Contr. Theb. 406.)

Οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον. (A. Fr. 286.)

. . . πάλαι πεπρωμένος αἴσῃ. (Hom. Il. XXII, 179.)

Πάντων ἄριστον, μὴ βιάζεσθαι θεούς,
στέργειν δὲ μοῖραν. (Stob. CVIII, 23.)

. . . παρὰ δ' ἄλλων ἄλλα
μοῖρα διώκει. (E. Heraclid. 611 sq.)

. . . πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή. (S. Antigone, 1357 sq.)

Πολλὰ γὰρ τίκτει
μοῖρα τελεσσιδώτειρ'
αἰών τε, Κρόνου παῖς. (E. Heraclid. 898 sqq.)

Τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκαίων, οὔθ' ὑπολείβων,
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει. (A. Agam. 68 sqq.)

Τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα. (A. Prom. Vinct. 103 sq.)

Τὸ δαιμόνιον οὐχ' ὁρᾷς,
ὅπῃ μοίρας διεξέρχεται,
στρέφει δ' ἄλλους
ἄλλως εἰς ἁμέραν. (E. Fr. Stob. Ecl. I, VI, 2.)

. . . τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε. (Hom. Il. XIII, 602.)

Τύχα, τύχα, δυσπάλαιστος ἥκει. (E. Alcest. 889.)

Ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη
Μοῖρα, λιταῖς ἄτρωτε δυστήνων βροτῶν,
πᾶν τλῆμ' ἀνάγκης στυγνὸν ἢ κατ' αὐχένων
ἡμῶν ἐρείδεις τῆς τε λατρείας ζυγόν.

(Moschion. Stob. Ecl. I, V, 1.)

Ὦ μοῖρα, κεδνῶν καὶ κακῶν κυνηγέτι.

(Stob. Ecl. I, VI, 9.)

Felicitas (cf. Miseria, Sors, Mutatio, Vita).

. . . ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.

(S. Trach. 230 sq.)

Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ
τέρας ἐστίν, εἴ τις ηὐτύχηκε διὰ βίου.

(Bato. Meinecke, v. IV, p. 499.)

. . . βροτῶν
οὐδένα μακαρίζω,
ὅστις καθ' ὑπερβολὰν
τοξεύσας ἐκράτησε τοῦ
πάντ' εὐδαίμονος ὄλβου.

(S. Oedip. R. 1194 sqq.)

Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται·
ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

(E. Fr. Antiope, XXXII.)

Εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν.

(E. Hippol. 700.)

. . . ἐν ὀλβίῳ ὄλβια πάντα.

(Theocrit. XV [XIV], 24.)

— . . . ἑλισσόμεσθ' ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.

(E. Ion, 1504 sqq.)

. . . ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες.

(E. Orest. 895 sq.)

Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις.

(E. Heraclid. 745.)

Εὐτυχεῖν ἐπίστασο.

(E. Ion, 650.)

Εὐτυχὴς ὁ ἐπὶ μετρίοισιν χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δ' ὁ πολλοῖσι δυσθυμεόμενος.

(Democrit. Stob. CIII, 17.)

Εὐτυχία πολύφιλος.
(Prov.)

Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας ἀνοητότερος γίγνεται.
(Epictet. I. 63.)

— Εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος.
(Periander.)

— Ἔχει λόγον καὶ τοῦτο τῶν πολλῶν βροτῶν·
δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
(E. Fr. Antiope, XLIII.)

Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
(E. Medea, 1228 sqq.)

— Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.
(E. Fr. Ino, XXI.)

Οὐ γάρ τις ἐπιχθονίων πάντ' εὐδαίμων ἔφυ.
(Bacchylid. Stob. CIII, 2.)

Οὐδεὶς ἂν οὕτως εὐτυχεῖ κακὸς γεγώς.
(S. Fr. Aletes, 94.)

Οὐκ ἔστιν, ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.
(E. Fr. Sthenob. I.)

Τὴν εὐτυχίαν κρύπτε.
(Pittacus.)

Τί δ' οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς;
(E. Fr. Archel. XVII.)

Τί δ'; εὐτυχοῦντες οὐκ ἐπίστανται φέρειν;
(E. Suppl. 122.)

Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ,
εὐδαιμονεῖ τε κ' αὖθις οὐκ εὐδαιμονεῖ.
(E. Fr. Antiope, XLIV.)

Τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμῆσαι βροτῶν
οὐκ ἔστιν ὄντως, ὅντιν' εὑρήσεις ἕνα.
(S. Fr. Phaedr. 610.)

Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.
(E. Fr. Alcmene, V.)

Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γράφει θεός.
(E. Fr. Peleus, IV.)

Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
(Comic.)

Τῶν δ' εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
(Men. Monost. Meinecke, v. IV, p. 354.)

Ὦ δέσποτ', οὐδεὶς εἶδεν, ἄνθρωπος γεγὼς,
οὔτ' εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.

(E. Fr. Chrys. IV.)

Ὥστ' οὔ τις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.

(E. Fr. Alex. III.)

Femina, Mulier, v. Virgo, Uxor (cf. Matrimonium, Maritus, Amor), *Dos.

— Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον,
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

(Philem. incert., Meinecke, v. IV, p. 50.)

— Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.

(E. Orest. 605 sq.)

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

(Philem. incert., Meinecke, v. IV, p. 62.)

Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν,
κάθευδ' ἀηδῶς ἡδέως μασώμενος.

(Philippid., Meinecke, v. IV, p. 476)

Αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

(E. Iphig. A. 830.)

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ, καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' ἐς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

(E. Fr. Mel. Vinct. XVIII.)

Ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακὸν,
γυναῖκες·

(E. Medea 889 sq.)

. . . ἀλλ' ὅμως χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείας φύσεις.

(E. Androm. 955 sq.)

Ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει
γυναικῶν οὐδὲν κάκιον εἰς ἅπαντα, πλὴν
ἄρ' ἢ γυναῖκες.

(Ar. Thesmoph. 531 sq.)

Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.

(E. Fr. Oedip. VIII.)

— Ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν.

(E. Hippol. 966 sq.)

. . . ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἐσθ' ὁ μετριώτατον λαβών.

(Men. incert., Meinecke, v. IV, p. 228.)

. . . ἀνὴρ μὲν ἐκ δόμων
θανὼν ποθεινός· τὰ δὲ γυναικὸς ἀσθενῆ.

(E. Iphig. T. 1005 sq.)

. . . ἀντὶ γὰρ πυρὸς
πῦρ ἄλλο μεῖζον ἠδὲ δυσμαχώτερον
ἔβλαστον αἱ γυναῖκες.

(E. Fr. Hippol. VIII.)

Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.

(Hippothoon, Stob. LXVII, 14.)

Ἄστοργον δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν.

(Theocrit. XVII [XVI], 43.)

Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα
ἡμῖν.

(Ar. Lysistrat. 450 sq.)

Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γνώμην ἀρίστην τῇ γυναικὶ μὴ λέγε·
γνώμῃ γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.

(Men. incert., Meinecke, v. IV, p. 209.)

Γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

(E. Helen. 328.)

Γυναῖκα γὰρ χρῆν πάντα συγχωρεῖν πόσει,
ἥτις φρενήρης.

(E. Electra, 1052 sq.)

Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.

(Chaerem. Meinecke, v. IV, p. 690.)

Γυναῖκες ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

(E. Medea 418.)

Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλλοιτό τις.

(E. Fr. Auge, IV.)

Γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλων γένος,
σώζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται.

(E. Iphig. T. 1061 sq.)

Γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν
κάλλιστον, εἴσω θ' ἥσυχον μένειν δόμων.

(E. Heraclid. 476 sq.)

Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.

(Men. Monost., Meinecke, v. IV, p. 343.)

Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

(E. Fr. incert. 34.)

Γυναικὶ κόσμος ὁ τρόπος, μὴ τὰ χρυσία.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γυναικί τ' ἐχθρὸν κτῆμα πρεσβύτης ἀνήρ.

(E. Fr. Danaë 11.)

. . . γυναικί τοι
αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν.

(E. Electra 343.)

Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

(Diphil. incert., Meinecke, v. IV, p. 426.)

Γυναικὸς δ' οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
ἐσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς.

(Simonid. Clem. Alex. VI.)

Γυναικὸς ὄμμα τοῖς ἀκμάζουσιν βέλος.

(Mich. Ap.)

Γυναῖχ' ὁ διδάσκων γράμματ' οὐ καλῶς ποιεῖ,
ἀσπίδι δὲ φοβερᾷ προσπορίζει φάρμακον.

(Men. incert., Meinecke, v. IV, p. 269.)

ΓΥΝΗ: ἀνδρὸς ἐπιθύμιον· οἴκου ζάλη· βίου ἅλωσις·
ἀμεριμνίας ἐμπόδιον· αὐθαίρετος μάχη· καθημερινὴ
ζημία· κεκοσμημένη Σκύλλα· πολυτελὴς πόλεμος.

Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς
ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας
ψυχὴν μεθίστασ'.

(E. Fr. Phrix. VI.)

Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους.

(E. Fr. Danaë IX.)

Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὕτως ἀνὴρ,
ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.

(E. Medea 319 sq.)

Γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γυνὴ γάρ τ' ἄλλα μὲν φόβου πλέα,
κακὴ δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν,
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

(E. Medea 263 sqq.)

ΓΥΝΗ ΓΕΝΝΑΙΑ πλοῦς ἀκύμων συζύγῳ,
εὐρωστία σύμφυλος οὐ συλωμένη.
καθημερινὸν κέρδος ἐξ ἐργασίας.
γῆρας λιπαρὸν εὐνέτῃ μακαρίῳ.
δῶρον θεοῦ, σύνεδρος ἀμεριμνία.
εὐήλιον φῶς, ἦρος ἡδυθυμία.
πρόδηλον ἄκος, συμφανὴς σωτηρία.
φύσις ἀγαθή, φίλτρον ἐκ τῆς καρδίας.
βίου πλατυσμός, ἀγαθῶν μυρμηκιά.

νέφος μυθικὸν, βλύζον ἁδρὸν χρυσίον.
ἐργάτης βοῦς ἀρότης ἐζυγμένος.
παροιμιακὸν τῆς Ἀμαλθείας κέρας.
εὐσχημοσύνης ἀπραγμάτευτος τύπος.
βλαστῶν ἀγαθῶν ῥίζα κοσμιωτέρα.

(Or. 1.)

Γυνὴ γυναιξὶ σύμμαχος πέφυκέ πως.

(E. Fr. Alope, IV.)

Γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν·
οὐδὲν γὰρ αὐτὴν δεῖ θύρασιν εὐπρεπὲς
φαίνειν πρόσωπον, ἢν τι μὴ ζητῇ κακόν.

(E. Electra 1072 sqq.)

Γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.

(Incerti auctoris.)

Γυνὴ δὲ πάντων ἀγριώτατον κακόν.

(E. Fr. Phoenix, XI.)

Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.

(Men. Monost., Meinecke, v. IV, p. 243.)

Γυνὴ δικαία τοῦ βίου σωτηρία.
γυνὴ γὰρ οἴκου πῆμα ἢ σωτηρία.
γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
γυνὴ δὲ κολακεύει σε τοῦ λαβεῖν χάριν.
γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.

(Men. Monost., Meinecke, v. IV, p. 342.)

Γυνὴ δ' ὅλως τὸ συμφέρον οὐ βούλεται.

(Incerti auctoris.)

Γυνὴ μονωθεῖσ' οὐδὲν· οὐκ ἔνεστ' Ἄρης.

(E. Suppl. 749.)

Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

(Democrit., Stob. LXXIII, 62.)

Γυνὴ πολυτελής ἐστ' ὀχληρὸν οὐδ' ἐᾷ
ζῆν τὸν λαβόνθ', ὡς βούλετ', ἀλλ' ἔνεστί τι
ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες· ἐλθόντ' εἰς νόσον
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς,
ἀτυχοῦντι συμπαρέμεινεν.

(Men., Meinecke, v. IV, p. 164.)

ΓΥΝΗ ΠΟΝΗΡΑ ναυάγιον ἀῤῥένων, στερκτὸν κακόν,
ἄντικρυς ἀκολασία, νὺξ ἀσέληνος,
χειμερινὴ πικρία, ὕπουλον ἕλκος,
ἐνδομαχοῦσα φθόη, πονηρὰ φύσις,
ἀκατάλλακτος μάχη, βίου σκεδασμός,
ἀπόκολπος σκορπίος, μαινὰς σοβάς,
ὕδρα πολυκέφαλος, ἄμαχον τέρας,

ἀῤῥωστία σύνοικος οὐκ ἰωμένη.
καθημερινὴ τῷ συνοίκῳ ζημία.
γῆρας ἄωρον εὐνέτῃ τρισαθλίῳ.
ἀνήμερος λέαινα συμπεπλεγμένη.
πυρίπνοος χίμαιρα μὴ νικωμένη.
ῥίζα πονηρὰ χειρόνων βλαστημάτων.
μέριμνα συγκαθημένη.

(Or. 1.)

Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.

(E. Fr. Aegeus, XI.)

Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.

(E. Iphig. T. 1032.)

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμοῦ πνοαὶ,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν·
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
οὐδ' ἂν λόγος δείξειεν· εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν,
μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

(E. Fr. incert. 32.)

. . . δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς.

(E. Androm. 269 sqq.)

Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

(Ar. Thesmoph. 413.)

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

(Hipponax. Stob. LXVIII, 8.)

Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν·
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνῃ.

(Antiphanes incert., Meinecke, v. III, p. 151.)

* Ἐγὼ μὲν οὐ τὸν νόμον ἐμαυτῷ τουτονὶ
τίθεμαι, δοκιμάζων, ὥσπερ εἴρηται ποιεῖν·
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ κακὴν μετὰ χρημάτων
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

(Diodor., Meinecke, v. III, p. 546.)

Εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.

(E. Orest. 738.)

Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μὴ, τί δεῖ καλῆς
γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

(E. Fr. Antiope, 19.)

—. . . Εἷς γ' ἀνὴρ
κρείσσων γυναικῶν μυρίων ὁρᾷν φάος.

(E. Iphig. A. 1394.)

Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.

(E. Orest. 108.)

Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως, ἃ βούλεται,
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.

(Philiscus, Stob. LXXIII, 53.)

Ἔνδον γυναικῶν καὶ παρ' οἰκέτας λόγος.

(E. Fr. incert. 157.)

Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
ἐσθλὴν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.

(E. Fr. Meleagr. 10.)

Ἓν ἐστ' ἀληθὲς φίλτρον· εὐγνώμων τρόπος·
τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή.

(Men. incert. Meinecke, v. IV, p. 259.)

. . . ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.

(Hom. Od. XI, 456.)

Ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

(E. Androm. 181 sq.)

Ἔργον, γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.

(Men. incert., Meinecke, v. IV, p. 289.)

Ἐσκεύασεν ὁ θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὰ μὲν τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα.

(Xenoph. Domestica.)

. . . ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

(E. Medea, 407 sq.)

. . . ἔστι δὲ
γυνὴ λέγουσα χρήσθ' ὑπερβάλλων φόβος.

(Men. incert., Meinecke, v. IV, p. 278.)

Εὐάγωγον γάρ ἐστιν εἰς πίστιν γυνὴ, καὶ μάλιστα, ὅταν τὸ ἀτυχεῖν προσῇ.

(Gaius, Stob. LXXIII, 63.)

Εὐάγωγον δὲ εἰς τὸ ῥᾳδίως τι τολμῆσαι γυναικός.

(Gaius, Stob. LXXIII, 64.)

. . . ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.

(E. Iphig. T. 1054.)

Ζῆλος γυναικὸς πάντα προσπολεῖ δόμον.

(Men. Monost., Meinecke, v. IV, p. 345.)

Ἦ οὐχ ἅλις, ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;

(Hom. Il. V, 349.)

Ἦ τ' ἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

(E Hippol. 480 sq.)

. . . θρέμματ' οὐκ ἀνασχετά.

(A. Sept. Contr. Theb. 182.)

Ἰδού, δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.

(Ar. Fr. 389.)

Ἴσον ἐστὶν ὀργὴ καὶ θάλασσα καὶ γυνή.

(Men. Monost., Meinecke, v. IV, p. 347.)

Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.

(Men. Monost., Meinecke, v. IV, p. 347.)

Καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.

(A. Suppl. 1003 sq.)

Κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός.

(S. Aias, 650 sqq.)

Καὶ τί λελόγισμαι ὁ κακοδαίμων, προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι; μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ' ἔχει·
οὐκ ἐν γυναικὶ φύεται πλείστη χάρις.

(Men. incert., Cl. 232.)

— Καίτοι τόδ' αἰσχρόν, προστατεῖν γε δωμάτων
γυναῖκα, μὴ τὸν ἄνδρα.

(E. Electra, 932 sq.)

Καί τοι λέγουσιν, ὡς μί' εὐφρόνη χαλᾷ
τὸ δυσμενὲς γυναικὸς εἰς ἀνδρὸς λέχος.

(E. Troad. 660 sq.)

Κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.

(E. Iphig. T. 566.)

Κακὸν, γυναῖκα πρὸς νέαν ζεῦξαι νέον·
μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,
θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.
ὁ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,
ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα βουλεύει κακά.

(E. Fr. Aeol. VIII.)

Κακὸν, γυναῖκα πρὸς νέον ζεῦξαι γραῖαν.

(E. Fr. incert. 105.)

Κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ·
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν.

(Susario. Stob. LXIX, 2.)

Καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή,
καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν.

(Men. Monost., Meinecke, v. IV, p. 348.)

. . . κάρτα τοι φιλοίκτιστον γυνή.

(S. Aias, 580.)

Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.

(S. Fr. 680.)

Κόσμος ἐστὶ τὸ κοσμοῦν· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν· ποιεῖ δὲ τοιαύτην οὔτε χρόνος, οὔτε σμαραγδὸς, οὔτε κόκκος· ἀλλ' ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς ἔμφασιν περιτίθει.

(Plutarch. Crates. Stob. LXXIV, 48.)

Κόρης ἀπαλλαττόμεθα, ταμιείου πικροῦ.

(Diphil., Meinecke, v. IV. p. 476.)

— Κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν,
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.

(S. Antigone, 670 sq.)

Λέξω δὲ, καίτοι δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις.

(E. Electra, 1013 sq.)

Λέοντι συζῆν, ἢ γυναικὶ συμβιοῦν.

(Men. Monost., Meinecke, v. IV, p. 349.)

— Μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες
εἰσίν.

(Hes. Op. 584 sq.)

Μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.

(A. Sept. Contr. Theb. 200 sq.)

Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω.

(Hes. Op. 371.)

Μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.

(A. Sept. Contr. Theb. 188 sq.)

Μισῶ γυναῖκας, ἐκ πασῶν δὲ σέ,
ἥτις πονηρὰ τἄργ' ἔχουσ', εἶτ' εὖ λέγεις.

(E. Fr. Meleagr. XXIII.)

Μορφὰ θηλυτέρῃσι πέλει καλὸν, ἀνέρι δ' ἀλκά.

(Bion. 18.)

Μοχθοῦμεν ἄλλως, θῆλυ φρουροῦντες γένος,
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος,
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

(E. Fr. incert. 33.)

Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι·
χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅτι πλείστας ἔχειν
γυναῖκας, εἴπερ ἂν τροφὴ δόμοις παρῇ,

ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,
τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσώζετο.

(E. Fr. Ino, XIV.)

— Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα, καὶ σώζει δόμους.

(E. Fr. incert. 27.)

Οἶσθα γάρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός.

(Hom. Od. XV, 20.)

Ὅπου γυναῖκές εἰσιν, πάντ' ἐκεῖ κακά.

(Men. incert., Cl. 234.)

Ὁρᾶτ', ἄπιστον ὡς γυναικεῖον γένος.

(E. Iphig. T. 1298.)

Ὅρκους ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

(S. Fr. 694.)

Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσιν.

(Hes. Op. 373.)

Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός·
πολλῶν γὰρ οὐσῶν, τὴν μὲν εὑρήσεις κακὴν,
τὴν δ', ὥσπερ αὕτη, λῆμ' ἔχουσαν εὐγενές.

(E. Fr. Protesil. III.)

Ὅστις γυναῖκ' ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν,
ἢ βούλετ' ἀτυχεῖν, μακάριος καλούμενος.

(Men. incert., Meinecke, v. IV, p. 250.)

Ὅταν ποθεῖν λέγῃ σε καὶ στέργειν γυνή,
φοβοῦ παρ' αὐτῆς πλείον' ὧν λέγει κακά.

(Sosipater incert., Meinecke, v. IV, p. 592.)

Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινούς, οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·
πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

(E. Fr. Cressae, III.)

. . . οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.

(Ar. Lysistrat. 165 sq.)

Οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνή,
ἥτις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.

(E. Fr. incert. 100.)

Οὐδὲν γαίᾳ κλεινᾷ γυναικὸς βαρύτερον
οἶδ' ὁ συντυχών· μακάριος δ' ὃς ἀγνοεῖ.

(Epicharm. Stob. LXVIII, 9.)

Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον
οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις.

(Ar. Lysistrat. 1014 sq.)

Οὐδὲν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός·
μάρτυς ἐγὼ, σὺ δέ μοι γίγνου ἀληθοσύνης.

(Theognis, 1224 sq.)

Οὐκ ἀλέγω ὡσεί με γυνὴ βάλοι ἢ πάϊς ἄφρων.

(Hom. Il. XI, 389.)

Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

(E. Fr. Danaë, XIII.)

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο.

(Hes. Op. 700 sq.)

. . . οὐ πάνυ
εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή.

(Men. incert., Meinecke, v. IV, p. 278.)

— Οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.

(E. Orest. 1528.)

— Οὔτοι χρήσιμόν ἐστι νέα γυνὴ ἀνδρὶ γέροντι.

(Theognis, 457.)

Οὕτω γυναικός οὐδὲν ἂν μεῖζον κακόν
κακῆς ἀνὴρ κτήσαιτ' ἄν, οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

(S. Fr. 609.)

Οὐ χρὴ δὲ τὴν γυναῖκα δεινὴν ἐν τοῖς πολιτικοῖς, ἀλλ' ἐν τοῖς οἰκονομικοῖς εἶναι.

(Theophrast. Stob. LXXXV, 7.)

— Πάντα γὰρ δι' ἀρσένων
γυναιξὶ πράσσειν εἰκός, αἵτινες σοφαί.

(E. Suppl. 40 sq.)

. . . πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.

(E. Fr. Danaë, XI.)

Πάντων δ' ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.

(E. Medea, 530 sq.)

Παρθενίους τ' ὀάρους, μειδήματά τ', ἐξαπάτας τε.

(Hes. Theogon. 205.)

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή·
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

(E. Fr. Oedip. IV.)

Πᾶσα γυνὴ χόλος ἐστίν· ἔχει δ' ἀγαθὰς δύω ὥρας·
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

(Pallad. Anthol. XI, 381.)

Πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος· ἀλλὰ ταχύμορον
γυναικοκήρυκτον ὄλλυται κλέος.

(A. Agam 485 sq.)

— Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.
(E. Fr. Phoenix. XI.)

Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.
(E. Fr. Mel. Vinct. XII.)

Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.
(E. Androm. 85.)

Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.
(E. Fr. Stheneb. VIII.)

Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων
ὄντων, μέγιστόν ἐστι θηρίον γυνή.
(Men. Meinecke, v. IV, p. 214.)

Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα.
(Men. incert. Meinecke, v. IV, p. 290.)

. . . προσκοπεῖσθε πηλίκον κακὸν
λήψεσθ'· ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἐσθ' ὁ μετριώτατον λαβών.
(Men. Cl. 232.)

Πῶς γὰρ γυναιξὶν ἀρσένων ἔσται κράτος;
(E. Hecab. 871.)

Ῥᾷστον δ' ὅτῳ τὸ μηδέν, ἀλλ' ἀνωφελὴς
εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
εἴη φρονοῦσα πλεῖον ἢ γυναῖκα χρή.
(E. Hippol. 638 sqq.)

Σύγγνωτε κἀνασχέσθε σιγῶσαι· τὸ γάρ
γυναιξὶν αἰσχρὸν σὺν γυναιξὶ δεῖ στέγειν.
(S. Fr. 609.)

— Τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἂν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.
(E. Ion, 398 sqq.)

Τὰ δεύτερ' ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν,
τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν·
ἡ δ' οἰκί', ἐν ᾗ πάντα πρωτεύει γυνή,
οὐκ ἔστιν, ἥτις πώποτ' οὐκ ἀπώλετο.
(Men. incert., Meinecke, v. IV, p. 213.)

Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή.
(E. Fr.)

Τὰ μὲν γὰρ ἄλλα δεύτερ' ἂν πάσχοι γυνή,
ἀνδρὸς δ' ἁμαρτάνουσ', ἁμαρτάνει βίου.
(E. Androm. 375 sq.)

Τῆς δὲ γυναικὸς μικρὸς ὁ καιρός, κἂν τούτου μὴ 'πιλάβηται,
οὐδεὶς ἐθέλει γῆμαι ταύτην, ὀττευομένη δὲ κάθηται.
(Ar. Lysistrat. 595 sq.)

Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται
γυναικὸς, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον, διαφέρουσι δ' αἱ φύσεις.

(E. Fr. Mel. Vinct. XIV.)

. . . τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν.

(Men. incert., Meinecke, v. IV, p. 265.)

Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

(E. Fr. Alope, VII.)

Τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ,
γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ;

(S. Fr. 679.)

Τί φής; λαθεῖν ζητῶν τί πρὸς γυναῖκ' ἐρεῖς
τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει,
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

(Antiphan. Meinecke, v. III, p. 151.)

Τὸ θῆλυ γάρ πως μᾶλλον οἰκτρὸν ἀρσένων.

(E. Hercul. Fur. 536.)

Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν,
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
τὰ δ' αἰσχρὰ μισεῖ, καὶ κατ' ὀφθαλμοὺς ἔχει.

(E. Fr. Ino, IV.)

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν τι περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

(Men. incert., Meinecke, v. IV, p. 260.)

Τούτῳ δὲ δῆλον, ὡς γυνὴ κακὸν μέγα·
προσθεὶς γὰρ ὁ σπείρας τε κἀκθρέψας πατὴρ
φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ.

(E. Hippol. 627 sqq.)

Ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

(E. Androm. 952 sq.)

. . . φεῦ,
ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται, κἀπὶ τοῖς αἰσχροῖς πλέον.

(E. Fr. Ino, IX.)

— Φεῦ, φεῦ, γυναῖκες! ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα.

(Apollonid. Stob. LXVII, 3.)

Φιλότεκνόν πως γὰρ πᾶν γυναικεῖον γένος.
(E. Phoen. 356.)

Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ·
σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.
(E. Phoen. 198 sqq.)

Φορτίον ἡ γυνή.
(Lycurg.)

Φύσει γυνὴ δυσήνιόν ἐστι καὶ πικρόν.
(Men. incert., Meinecke, v. IV, p. 290.)

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτὸν,
τοῖς ὀρνέοις ποτᾶσθαι,
γυναιξὶν οὐκέτ' εἶχεν·
τί οὖν δίδωσιν; κάλλος,
ἀντ' ἀσπίδων ἁπασῶν,
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.
(Anacr. II.)

Χειμὼν κατ' οἴκους ἀνδράσιν κακὴ γυνή.
(Men. Monost., Meinecke, v. IV, p. 355.)

. . . χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείους φύσεις.
(E. Androm. 955 sq.)

— Χρὴ γὰρ γυναῖκα, κἂν κακῷ δοθῇ πόσει,
στέργειν· ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
(E. Androm. 213 sq.)

Ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
(A. Sept. Contr. Theb. 256.)

Ὦ μακάριόν μ', ὅστις γυναῖκ' οὐ λαμβάνω.
(Men. Meinecke, v. IV, p. 69.)

Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χρυσὸν, ἢ σίδηρον, ἢ χαλκοῦ βάρος
παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος

τῆς ἀξίας ἕκαστον· ἐν δὲ δώμασι
ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.

(E. Hippol. 616 sq.)

. . . ὡς γυναιξὶ πιστεύω βραχύ.

(Or. 1113.)

Ὡς οὐ κύντερον ἦν καὶ ῥίγιον ἄλλο γυναικός.

(Orph. Fr. 18.)

Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.

(Hom. Il. XI, 427.)

Ὡς ἐστ' ἄπιστον ἡ γυναικεία φύσις.

(Men. Cl. 232.)

Ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.

(Ar. Lysistrat. 1017.)

Ὡς πολλά γ' ἐστὶ κἀπὸ θηλειῶν σοφά.

(E. Suppl. 294.)

Ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.

(Ar. Lysistrat. 340.)

Ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;

(E. Fr. Belleroph. XII.)

Ferre, v. Tollerantia (cf. Patientia, Sors, Miseria).

Ferrum, *Ferreus,

*Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον.

(Hes. Op. 175.)

Πέτρας ἔχων φύσιν, ἠὲ σιδήρου.

(Mosch.)

Ficus.

Ὥσπερ τὰ σῦκα ἐπὶ τοὺς ὀφθαλμοὺς ἔφυ.

(Prov. Chiliades, 494.)

Fides, v. Veritas (cf. Falsum), *Fiducia, Confidentia, v. Audacia; †Perfidia, Diffidentia.

— Ἀπιστία πίστεως ἀσφαλέστερον.

(Theophil.)

Θαρσεῖν χρή, φίλε Βάττε, τάχ' αὔριον ἔσσετ' ἄμεινον.

(Theocrit. IV [IX], 41.)

— Θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία.

(S. Oed. Col. 611.)

— Καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις.

(Pind, Olymp. I, 53.)

*Καλόν γ' ἀληθὴς κἀτενὴς παῤῥησία.

(E. Fr. Temen. II.)

. . . καλόν τοι γλῶσσ', ὅτῳ πίστις παρῇ.

(E. Iphig. T. 1064.)

†Κοινὸν φυλακτήριον ἀγαθὸν καὶ σωτήριον ἀπιστία.

(Demosth.)

*Μεγίστη παῤῥησία τὸ νομίζειν ἔχειν παῤῥησίαν.

(Max. 74, 16. Stob. M. Flor. XIV, 6.)

Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

(Men. Monost. Meinecke, v. IV, p. 349.)

Μὴ πᾶσι πίστευε.

(Pittac. Stob. LXXIX, 8.)

Μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι πιστεύειν· τὸ μὲν γὰρ εὐῆθες, τὸ δὲ σωφρονέοντος.

(Democrit. Sent. Aur. 32. Or. I.)

Νᾶφε καὶ μέμνασ' ἀπιστεῖν· ταῦτα νεῦρα (ἄρθρα) τῶν φρενῶν.

(Epicharm.)

Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπίς, ἥτις καὶ θράσος τι προξενεῖ.

(S. Trach. 725 sq.)

*Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον, οὔτε ἐκ τῆς παιδείας ἀρτέον τὴν παῤῥησίαν.

(Socrat. Stob. XIII, 48.)

*Οὔτε μάχαιραν ἀμβλεῖαν, οὔτε παῤῥησίαν ἄτακτον ἔχειν δεῖ.

(Stob. M. Flor. XIV, 4.)

† . . . πέφευγε τοὔπος ἐξ ἀπιστίας.

(A. Agam. 268.)

*—*Πίστεις οὖν ἄρ' ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.

(Hes. Op. 370.)

*—*Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δὲ σάωσα,
γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.

(Theognis, 831 sq.)

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστατίῃ.

(Theognis, 77 sq.)

. . . πιστὸς ἐν κακοῖς ἀνὴρ
κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

(E. Orest. 727 sq.)

Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅταν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

(Isocr. Demon.)

*—*Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

(Isocr. Dem. 7.)

— . . . σώφρονος δ' ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.

(E. Helen. 1617 sq.)

. . . τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν.

(S. Trach. 1228 sq.)

Filius, v. Puer, Liberi (cf. Pater, Parens).

— Εὐδαιμονίας τοῦτ' ἐστὶν υἱὸς νοῦν ἔχων,
ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.

(Men. Cl. 18.)

Ἐν τοῖς τέκνοις ἀρετὴ τῶν εὐγενῶν ἔβλαστεν.

(E. Fr.)

Ὄλβιος, ᾧ παῖδές τε φίλοι.

(Solon, 2.)

Τῶν ἀγαθῶν ἀνδρῶν, ὡς εἱμαρμένη εἴη, φαύλους ἀποβαίνειν υἱούς.

(Demosth.)

Υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίγνεται.

(Anaxandrid. Meinecke, v. III, p. 171.)

Finis (cf. Initium, Mors).

— Ἀρχὴ ἴασθαι πολὺ λώϊον ἠὲ τελευτή.

(Incerti auctoris.)

— Ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκός ἐστ' οὕτως ἔχειν.

(Sophocl. ap. Plutarch.)

Forma (cf. Facies, Mens, Corpus).

Γνοίη δ' ὡς τὰ πολλά γ' ἀνθρώπου πέρι
τὸ σχῆμ' ἰδών τις, εἰ πέφυκεν εὐγενής.

(E. Ion, 239 sq.)

Οἵα γὰρ ἡ μορφή, τοιάδε ἡ ψυχή.

(Aesop.)

†—* Οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.

(E. Orest. 388.)

— Πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

(Theognis, 128.)

Fortitudo, v. Robur, Virilitas (cf. Potentia, Virtus; Ignavia, Timiditas).

— Ἀλλ' οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἵρεσθαι κακοῖς·
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

(E. Fr. incert. 25.)

Ἀνδρεῖα δ' ἢν ποιῇ τις, ἐν τῷ σώματι
ἔνεσθ' ὑπάρχον τοῦθ'· ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.

(Ar. Thesmoph. 154 sqq.)

Ἀνδρεῖος οὐχ' ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων. ἔνιοι δὲ πόλεων μὲν δεσπόζουσιν, γυναιξὶ δὲ δουλεύουσιν.

(Democrit. Stob. VII, 26.)

Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.

(S. Fr. 203.)

Ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.

(A. Pers. 349.)

Ἄνευ δ' εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει· φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δ' ἄνευ αὐτῆς οὐδὲν ὠφελεῖ.

(Thucydides, II, 87.)

Ἅρπαζε τὸ καλῶς ἀποθνήσκειν, ὅτε ἔξεστι· μὴ μετὰ μικρὸν τὸ μὲν ἀποθνήσκειν σοι παρῇ, τὸ δὲ καλῶς μηκέτι ἐξῇ.

(Musonius, Stob. VII, 24.)

Ἄφρων, ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.

(Hes. Op. 208 sq.)

. . . ὀλίγον ἄλκιμον δόρυ
κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.

(E. Fr. Archel. XIII.)

Fortuna, v. Sors, Felicitas (cf. Miseria).

Fraus, v. Dolus, Deceptio.

Frater (cf. Cognatus).

Vide: *Amicitia:* Κρείσσων. — *Contentio:* Δεινὸν. — *Concordia:* Ὡς.

Frenum.

Σμικρῷ χαλίνῳ οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας.

(S. Antigone, 477 sq.)

Frigor (cf. Caliditas).

Ἰαλέμου ψυχρότερος.

(Men. Prov.)

Καὶ μήτε θερμὴν, μήτ' ἄγαν ψυχρὰν φράσῃς.

(Ar. Ranae, 119.)

Frugalitas (cf. Continentia, Temperantia, Sufficientia).

Ἂν μὴ παρῇ κρέα, στερκτέον τῷ ταρίχῳ.

(Prov.)

Αὐτάρκεια γὰρ πρὸς πᾶσαν ἡδονὴν δικαία.

(Sotad. Stob. CIII, 13.)

Αὐτάρκει τροφῇ μακρὰ νὺξ οὐδέποτε γίνεται.

(Democrit.)

Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

(Demosth. Stob. XVII, 21.)

Διδάσκαλος γὰρ ἡ εὐτέλεια τῶν σοφῶν
καὶ τῶν ἀρίστων γίνεται βουλευμάτων.

(Stob. XVII, 6.)

Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

(Democrit. Stob. XVII, 26.)

Θεμέλιον σοφίας σωφροσύνη καὶ ἐγκράτεια.

(Xenophan.)

Κεῖνος δ' ἁπάντων ἐστὶ μακαριώτατος,
ὃς διὰ τέλους ζῶν ὁμαλὸν ἤσκησεν βίον.

(Moschion. Cl. Alex. Str. VI, 745.)

Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μὲν, μὴ προεκφερόμενος δέ.

(Aristipp. Stob. XVII, 26.)

Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν.

(Pythag. Stob. XVII, 8.)

Ῥώμην μεγίστην καὶ πλοῦτον τὴν ἐγκράτειαν κτῆσαι.

(Pythag. Stob. XVII, 12.)

Φεύγων τραπέζαις ὅστις ἐξογκοῖτ' ἄγαν,
τἀρκοῦντ' ἀτίζων. οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι, μέτρια δ' ἐξαρκεῖν ἔφη.

(E. Suppl. 864 sqq.)

Frustra (cf. Cassus, Vanitas, Improbabilitas).

Αἰγιαλὸν ἀροῦν.

(Prov.)

Εἰς ψάμμον οἰκοδομεῖς.

(Prov.)

Δελφῖνα πρὸς τὸν οὐραῖον δεῖς.

(Prov.)

Δικτύῳ ἄνεμον θηρᾷς;

(Prov.)

Ἐξ ἄμμου σχοινίον πλέκειν.

(Prov.)

Ἐς τὸν Δαναΐδων πίθον ἐπιῤῥεῖ τόγ' ἐξαντλούμενον.

(Lucian. Chil. 374.)

Ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.

(Theognis, 106.)

Καὶ ὕδατι νίζει θολερὰν ἰοειδέϊ πλίνθον.

(Theocrit.)

Κοσκίνῳ ὕδωρ ἀντλεῖ.

(Chiliad.)

Κύματα μετρεῖς.

(Prov.)

Οἴμοι τὰ πόλλ' ἀσπάσμαθ' αἵ τ' ἐμαὶ τροφαί,
ὕπνοι τ' ἐκεῖνοι φροῦδά μοι.

(E. Troad. 1187 sq.)

Οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς.

(Theognis, 107.)

Σίδηρον πλεῖν διδάσκεις.

(Prov.)

. . . σὺ δὲ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
(A. Prom. Vinct. 44 sq.)

Χαμαὶ ἀντλεῖς.
(Prov.)

Fuga, *Refugium, Effugium.

Ἀεὶ καλὸς πλοῦς ἐσθ', ὅταν φεύγῃς κακά.
(S. Philoct. 641.)

*—*Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή.
(Hom. Il. V, 531 sq.)

. . . ἀλογίστου τρόπου
ἀτύχημα φεύγειν ἐστὶν οὐκ αὐθαίρετον.
(Men. Cl. 94.)

Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.
(Hom. Il. XIV, 81.)

Ἐκ δυοῖν ποδοῖν καταφεύγειν.
(Aristid.)

*. . . ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
δοῦλος δὲ βωμοὺς θεῶν.
(E. Suppl. 237 sqq.)

*—*Καπνόν γε φεύγων εἰς τὸ πῦρ περιέπεσον.
(Senarius Luciani.)

Ὁ δ' αὖ θάνατος ἔκιχε καὶ τὸν φυγόμαχον.
(Simonid. Stob. CXVIII. 6)

Ὃ δεῖ παθεῖν σε, μηδαμοῦ σκέψῃ φυγεῖν·
φεύγειν γὰρ οὐ δυνήσῃ, εἴ σε δεῖ παθεῖν.
⟨τὸ πᾶν⟩ πεπρωμένον γὰρ οὐ μόνον τοῖς βροτοῖς
ἄφυκτόν ἐστιν, ἀλλὰ καὶ κατ' οὐρανόν.
(Philem. Comp. Cl. 368.)

Οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν,
ὅστις ἄν, εἰ θεὸς
ἄγοι, φυγεῖν δύναιτο.
(S. Oed. Col. 252 sqq.)

Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
(Hom. Il. XIV, 80.)

Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν
δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία,
κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.
(E. Fr. Archel. IV.)

. . . οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσοι κακά·
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.
(S. Fr. 611.)

*Οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλο, ἢ τὸ σὸν γόνυ.
(E. Iphig. A. 911.)

Τί οὖν; ὁ ναύτης ἆρα μὴ εἰς πρῷραν φυγὼν
πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

(A. Sept. Contr. Theb. 208 sqq.)

. . . τί τῶν κοινῶν κάτω
καὶ συγγενικῶν δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;

(Alexid. Stob. XXIX, 33.)

Ὑπέκφυγον ἅμα βάλλοντες οἱ Πάρθαι.

(Herodot.)

Ὡς τοῖς ἐμοῖσιν οὐχὶ πρόσφορον τρόποις
φεύγειν τὰ δεινά.

(E. Suppl. 339 sq.)

Fur.

Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.

(Phocyl. 129.)

Ἔγνω δὲ φὼρ τὸν φῶρα καὶ λύκος λύκον.

(Aristotel.)

Οὐκ ἀπὸ ῥυσμοῦ εἰκάζω· φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

(Callimach. Ep. 45.)

Futurum tempus (cf. Hodie, Cras, Praeteritus).

Ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις.

(Demosthen. De Libertate Rhod.)

*—*Ἂν τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσει.

(Isocr. ad Demon.)

*—*Ἀσφαλὲς τὸ γενόμενον, ἀσαφὲς τὸ μέλλον.

(Thal. Stob. III, 79.)

Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων, τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

(Isocr. Demon. 10.)

Δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων.

(Isocr. Or. I, 8.)

Δεινὸν τὸ συνιδεῖν τὸ μέλλον.

(Thal. Stob. III, 79.)

*—*Δεῖ τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι.

(Isocr. Stob. I, 42.)

. . . εἴ τις δύο,
ἢ καί τι πλείους ἡμέρας λογίζεται,
μάταιός ἐστιν.

(S. Trach. 943 sqq.)

Ζώοι τις ἀνθρώπων, τὸ κατ' ἦμαρ, ὅπως
ἥδιστα πορσύνων· τὸ δ' ἐς αὔριον ἀεὶ τυφλὸν ἕρπει.

(S. Fr. 685.)

*—*Ἦ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν·
ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν.

(E. Fr. Androm. XXII.)

Καὶ τῶνδ' ὅμοιον, εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει.

(A. Agam. 1239 sq.)

— Μέλλοντα ταῦτα· τῶν προκειμένων τι χρὴ
πράσσειν.

(S. Antigone, 1334 sq.)

— Νῦν καὶ τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τά δὲ μέλλοντα αὐτόματα οἰόμενοι σχήσειν καλῶς.

(Demosth Olynth. I.)

Ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

(Theognis. 1075 sq.)

. . . οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας, ὅτι χρὴ τετελέσθαι.

(S. Fr. 515.)

Οὐδέ τις βούλεται ἐγγυᾶσθαι τὰ μέλλοντα ἔσεσθαι.

(Demosthen.)

— Οὐ ταὐτὸν εἶδος φαίνεται τῶν πραγμάτων
πρόσωθεν ὄντων, ἐγγύθεν θ' ὁρωμένων.

(E. Ion, 585 sq.)

Πόθεν οἴδαμεν τὸ μέλλον;
ὁ βίος βροτοῖς ἄδηλος.

(Anacr. 41.)

. . . (πολλοῖς ἐστιν ἀνθρώποις κακά·)
τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.

(E. Fr. Ino. XIX.)

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.

(Theognis. 1075 sq.)

Τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.

(Pind. Olymp. XII. 13.)

Χρόνον δ' ἔγνων, ὃν παρῆλθον,
ὃν ἔχω δραμεῖν, οὐκ οἶδα.

(Anacr. 24.)

. . . ὥστ' εἴ τις δύο,
ἢ καί τι πλείους ἡμέρας λογίζεται,
μάταιός ἐστιν, οὐ γάρ ἐσθ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

(S. Trach. 943 sqq.)

Gallus.

Ἐνδομάχας ἅτ' ἀλέκτωρ.
(Pind. Olymp. XII, 28.)

Κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
(A. Agam. 1642.)

Garrulitas (v. Loquacitas).

Ἀεί ποτ' ἐστὶ σπέρμα κηρύκων λάλον.
(E. Fr. incert. 164.)

Ἀνοητότατοί εἰσιν οἱ λογοποιοῦντες.
(Demosth. Phil. I.)

Ἀπεριλάλητος κομποφακελοῤῥήμων.
(Ar. Ran. 839.)

Ἀπιστοῦνται λάλοι, κἂν ἀληθεύωσιν.
(Plutarch.)

Γλώσσης περίπατός ἐστιν ἀδολεσχία.
(Astydam. Stob. XXXVI, 4.)

Δωδωναῖον χαλκεῖον.
(Prov. Zenob. VI.)

Ἐν ὑγρῷ ἐστιν ἡ γλῶσσα.
(Prov.)

. . . οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι.
(Hom. Il. XXIII, 478.)

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι.
(Theocrit. XV [XIV], 87.)

Ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει.
(Hom. Od. XVIII, 26.)

Gaudium, Laetitia, Voluptas (cf. Dolor).

Ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ.
(S. Antigone, 893 sq.)

. . . τοῖο δὲ θυμὸς
ἰάνθη, ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι.
(Hom. Il. XXXIII, 597 sqq.)

Χαῖρ'· εἰ τὸ χαίρειν ἔστι που κάτω χθονός.
δοκῶ δέ· ποῦ γὰρ μὴ 'στι λυπεῖσθαι βίῳ,
ἔστιν τὸ χαίρειν τῶν κακῶν λελασμένῳ.
(Astydam. Stob. CXX, 15.)

Gemitus, Suspirium.

Οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα.
(A. Fr. 371.)

Generositas, Nobilitas.

Γενναῖα μὲν τάδ' εἶπας, ἀλλ' ἀμήχανα.
(E. Heraclid. 461.)

Γενναιότης, σοι μωρία δ' ἔνεστί τις.
(E. Phoen. 1680.)

Τὸ γενναῖον τοῦ εὐήθους πλεῖστον μετέχει.
(Thucydides.)

Genius, Daemon.

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμον' οὐ νομιστέον
εἶναι τὸν βίον βλάπτοντα χρηστόν.
(Men. incert. Cl. 260.)

Gladius.

Αἲξ μάχαιραν.
(Prov.)

Μὴ παιδὶ μάχαιραν, μηδὲ ἀνδρὶ ἀπαιδευσίαν.
(Prov.)

Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἀμύναν.
(Phocyl. Admon. 29.)

Gloria (cf. Fama).

Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.
(Mimnermus. VII.)

Δόξα δὲ μήτ' ἀτρεκὴς, μήτ' αὖ παράσημος ἐνείη.
(E. Hippol. 1114.)

Δόξης οὐδεμίας ἦρα, ἣν οὐκ ἐξεπονεῖτο.
(Xenoph. Agesil. XI, 9.)

Ἴομεν· ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
(Hom. Il. XII, 328.)

Μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
(Hom. Il. XXII. 304 sq.)

Οὐ γὰρ ἀνιδρωτί γε μετ' ἀνδράσι κῦδος ἀέξει.
(Callim. V, 1.)

Οὐδέποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα.
(Thales.)

Σὸν δ' ἤτοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς.
(Hom. Il. VII, 451.)

Graecia.

Πιστὸν Ἑλλὰς οἶδεν οὐδέν.
(S. Iphig. T. 1205.)

Τῶν Ἑλλήνων ἕκαστός φησι τριῶν ἄξιος εἶναι.
(Prov.)

Gratia (cf. Gratitudo, Beneficium).

Ἀεὶ δ' ὁ σωθείς ἐστιν ἀχάριστος φύσει.
ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις,
ἣν δεόμενος τότ' ἀθάνατον ἕξειν ἔφη.

(Men. incert. Meineke, v. IV, p. 325.)

. . . ἀλλὰ παλαιὰ γὰρ εὕδει
χάρις, ἀμνάμονες δὲ βροτοί.

(Pind. Isthm. VIII, 23.)

Ἀλλ' οὔχ οἱ χάρις ἀμφιπεριστέφεται.

(Hom. Od. VIII, 175.)

Ἀμνήμονος γὰρ ἀνδρὸς ὄλλυται χάρις.

(S. Fr. incert. 780.)

. . . ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί·
ὅτου δ' ἀποῤῥεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.

(S. Aias, 520 sqq.)

Ἀπόντι μᾶλλον εὐχαριστίαν ποίει,
τὸ γὰρ ἢ παρόντι γίνετ' εὐτονώτερον.

(Men. Cl. 272.)

Ἀχάριστος, ὅστις εὖ παθὼν ἀμνημονεῖ.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Γνώσει δὲ τόδ', ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι.

(A. Prom. Vinct. 293 sq.)

Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν.

(Theognis, 105 sqq.)

Διὰ μακροῦ γὰρ ἡ χάρις (sc. τοῦ τύμβου).

(E. Hecab. 320.)

. . . ἐγὼ δ' ὀλίγον τε φίλον τε
ἔρχομ' ἔχων.

(Hom. Il. I, 167.)

. . . εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.

(S. Trach. 373 sq.)

Εἰ μνημονεύεις εὖ παθὼν φιλεῖς τέ με,
ἀπέχω πάλαι, Φιλῖνε, παρά σου τὴν χάριν.
τούτου γὰρ αὐτὴν ἕνεκα πρός σε κατεθέμην.

(Men. incert. Meineke, v. IV, p. 679.)

. . . ἡ δ' ἐν ὀφθαλμοῖς χάρις
ἀπόλωλ', ὅταν τις ἐκ δόμων ἔλθῃ.

(E. Fr. incert. 51.)

Ἦ μεγάλα χάρις
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τιμᾶντα τὰ πὰρ φίλων.

(Theocrit. XXVIII [XXV], 25.)

Ἡ χάρις γὰρ οὐ μακρῶν λόγων
δεῖται.
(E. Troad. 87 sq.)

Καλὸν τὸ θησαύρισμα κειμένη χάρις.
(Men. Monost. Meinecke, v. IV, p. 348.)

Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
(S. Aias, 1354.)

Μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.
(Men. Monost. Meinecke, v. IV, p. 349.)

Νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις.
(Prov.)

Οἱ ἀγαθοὶ ἀντὶ μικροῦ ἴσασι χάριν.
(Prov.)

Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν,
καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους.
(E. Fr. Philoct. II.)

. . . ὅσσον ἀηδὼν
συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν,
τόσσον ἐμ' εὐφράνας σὺ φανεῖς.
(Theocrit. XII, 6 sq.)

Ὅτι καλὸν φίλον ἀεί.
(E. Bacch. 836.)

. . . ὅττινας γὰρ
εὖ θέω, κῆνοί με μάλιστα σίνονται.
(Sappho.)

. . . οὐδέ τίς ἐστι χάρις μετόπισθ' εὐεργέων.
(Hom. Od. IV, 695.)

Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.
(S. Fr. incert. 102.)

Παλαιὰ γὰρ χάρις, ἀμνάμονες βροτοί.
(Pind.)

Τὰς Χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μὲν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον.
(E. Fr. Erechth. XVII.)

Τὰς Χάριτας παρθένους οὔσας πορνὰς ἐποίησεν.
(Socrat. Stob.)

Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαῤῥεῖ καὶ προδοῦσ' ἁλίσκεται.
(S. Agam. 1266 sqq.)

Χάριν λαβὼν μέμνησο, δοὺς δ' ἐπιλαθοῦ.
(Prov.)

Χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.
(E. Helen. 1234.)

Χάρις δ', ἅπερ ἅπαντα τεύ-
χει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμάν,

καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις.

(Pind. Olymp. I, 74 sqq.)

Χοΰτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν.

(S. Philoct. 1370.)

Ὥσπερ τις, εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι.

(S. Oed. Col. 774 sq.)

Gubernator (cf. Imperator, Rex, Dux), Gubernaculum.

Δεῖ γὰρ ἐρετμὰ πρῶτον γεύεσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν.

(Prov.)

Ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα προθύμους εἶναι . . . ἐπειδὰν δ' ἡ θάλαττα ὑπερσχῇ, μάταιος ἡ σπουδή.

(Demosthen. Olynth. 128, 21.)

Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι· ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης.

(Aristonym., Stob. III, 40.)

Πηδάλιον κυβερνήτης, οὐ τέκτων, καὶ θοίνην ὁ τομών, ἀλλ' οὐχ ὁ μάγειρος.

(Arist. III, Polit.)

Gula.

Καὶ λαῖμα βακχεύει λαβὸν τὰ χρήματα.

(Men. Cl. 38.)

Gutta.

Ψεκάδες ὄμβρον γεννῶσαι.

(Prov.)

Vide: *Labor:* Ἐκ θαμινῆς, Κοιλαίνει.

Hades, v. Inferi (cf. Mors).

. . . Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος.

(Hom. Il. IX, 157.)

Καὶ γὰρ ἕτοιμον καταβάντι, μὴ ἀναβῆναι.

(Anacr. 54.)

Καὶ γὰρ καθ' ᾅδην δύο τρίβους νομίζομεν·
μίαν δικαίων, χἀτέραν ἀσεβῶν ὁδόν.

(Phil. Cl. 360.)

Πανταχόθεν ἴση καὶ ὁμοία ἡ εἰς ᾅδην ὁδός.

(Aristipp.)

Τὸν Ἀΐδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

(S. Fr. 280.)

Hercules.

Ὄρτυξ ἔσωσεν Ἡρακλῆν τὸν καρτερόν.

(Prov.)

Hereditas (cf. Successio).

Ὀδυνηρόν ἐστιν, εὐτυχοῦντα τῷ βίῳ
ἔχειν ἔρημον διαδόχου τὴν οἰκίαν.

(Men. incert. Meinecke, v. IV, p. 261.)

Φείδεσθαι μὲν ἄμεινον, ἐπεί γε θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

(Theognis, 931 sq.)

Χρήματα δὲ ζώοντες ἀμαλδύνοντι θανόντων.

(Theocrit. XVI [XV]. 59.)

Heri.

Χθεσινοὶ ἄνθρωποι.

(Ar. Vesp. 1281.)

Heros.

Ἀνδρῶν ἡρώων τέκνα πήματα.

(Prov.)

. . . οἱ γὰρ ἥρωες κακοῦν,
ὥς φασ', ἕτοιμοι μᾶλλον ἢ εὐεργετεῖν.

(Men. Cl. 172.)

Hirundo.

Ὁμωριφίους χελιδόνας μὴ ἔχειν.

(Pythagoras.)

Historia.

Ὄλβιος, ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν.

(E. Fr. incert 101.)

Hodie, v. Cras.

Νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλῃσι,
δώσει.

(Hom. Il. VIII, 141.)

Τήμερον οὐδεμίαν γραμμὴν ἤγαγον.

(Titus.)

* — * Τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;

(Anacr. XV.)

Homo, * Vir (cf. Deus, Vita, Mutatio, Felicitas, Sors, Mors).

Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα, φῦλ' ἀμενηνά,
ἀπτῆνες ἐφημέριοι, ταλαιοὶ βροτοί, ἀνέρες εἰκελόνειροι.

(Ar. Aves, 685 sqq.)

. . . αἰόλ' ἀνθρώπων κακά.

(A. Suppl. 327.)

Ἀκίνητον οὐδέν φασιν ἐν ἀνθρώποις.

(Aristid.)

— Ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσιν,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

(Hom. Od. XVIII, 134 sqq.)

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

(Hom. Il. VII, 99.)

Ἂν γνῷς, τί ἐστ' ἄνθρωπος, εὐδαίμων ἔσῃ.

(Phil. Meinecke, v. IV, p. 425.)

Ἀνθρώποις γενέσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον.

(Heraclit. Stob. III, 83.)

. . . ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν.

(S. Antigone, 1032 sq.)

Ἄνθρωπον ὄντα δεῖ φρονεῖν τἀνθρώπινα.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

. . . ἄνθρωπος γὰρ ὤν·
σκέψῃ σὺ περὶ τοῦ; δυστυχὴς, κἂν εὐτυχῇ.

(Men. incert. Meinecke, v. IV, p. 205.)

Ἄνθρωπός εἰμι. τοῦτο δ' αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

(Diphil. Stob. LXXXXVIII, 6.)

Ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.

(Timocles, Meinecke, v. III, p. 592.)

ΑΝΘΡΩΠΟΣ ἐστιν: ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, ψυχῆς παίγνιον, μεταπτώσεως εἰκών, φθόνου καὶ συμφορᾶς πλάστιγξ· τὸ δὲ λοιπὸν φλέγμα καὶ χολή.

(Aristot. ap. Stob. LXXXXVIII, 60.)

Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

(S. Fr. 13.)

«Ἄνθρωπος» ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν.

(Men. Cl. 244.)

ΑΝΘΡΩΠΟΣ νοῦς σεσαρκωμένος, πνευματικὸν ἀγγεῖον,
αἰσθητικὸν οἴκημα, ἐπίπονος ψυχή,
τύχης παίγνιον, φρόντισμα χρόνου,
γῆς ἀπαίτημα.

(Aristotel. Or. 1.)

Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

Ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνησ' ἀεί.

(Phil. incert. Cl. 344.)

Ἅπαντα τὰ ζῷ' ἐστι μακαριώτερα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίγνεται,
ἃ δ' ἡ φύσις δέδωκεν αὐτῷ, ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.

(Men. incert. Meinecke, v. IV, p. 230.)

Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

(E. Fr. Alcmaeon, XIII.)

. . . βροτῶν
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δ' αὖ φθινύθουσιν ἀκήριοι.

(Hom. Il. XXI, 464 sqq.)

Γῆς ἐπέβην γυμνὸς, γυμνὸς δ' ὑπὸ γαῖαν ἄπειμι,
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

(Pallad. Anthol. X, 58.)

Γίγνωσκε τἀνθρώπεια, μηδ' ὑπερμέτρως
ἄλγει· κακοῖσιν οὐ σὺ πρόσκεισαι μόνη.

(E. Fr. Ino, XXII.)

Γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν.

(A. Fr. 146.)

Δακρυχέων γενόμην καὶ δακρύσας ἀποθνήσκω,
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενὲς, οἰκτρὸν,
συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

(Pallad. Anthol. X, 84.)

Δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών.

(S. Antigone, 768.)

Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

(Hom. Od. VII, 307.)

Ἔγνωκα δ' οὖν ἄρ' οὕτως ἐπισκοπούμενος·
εἶναι μανιώδη πάντα τἀνθρώπων ὅλως,
ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεὶ,
τοὺς ζῶντας, ὥσπερ εἰς πανήγυρίν τινα
ἀφειμένους ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους
εἰς τὴν διατριβὴν εἰς τὸ φῶς τε τοῦθ', ὃ δὴ
ὁρῶμεν.

(Alexis, Meinecke, v. III, p. 485.)

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον
κράτιστον εἶναί φημι μὴ φῦναι βροτῷ.

(E. Fr. Belleroph. XX.).

Εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις
ὑπερτερήσω, ποῦ φανήσομαι φρονῶν;

(Alexis, Meinecke, v. III, p. 453.)

Εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς.
ἔχοντες οὐδὲν εὐποροῦμεν τοῖς πέλας.

(Alexis, Meinecke, v. III, p. 446.)

Ἐν δὲ λιθίναις ἀκόναις ὁ χρηστὸς ἐξετάζεται διδοὺς βάσανον φανερὰν, ἐν δὲ χρυσοῦ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

(Chilon, Or. I, 168.)

Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
«οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν»,
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται·
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.

(Simonid. Stob. LXXXXVIII, 29.)

Ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.

(Prov.)

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.

(Theognis, 490 sq.)

. . . ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

(S. Oed. Col. 566 sqq.)

Ἐπάμερος τί δέ τις; τί δ' οὔ τις;
σκιᾶς ὄναρ ἄνθρωπος.

(Pind. Pyth. VIII, 133.)

Ἐς πόσον ἆ δειλοὶ καμάτως κεὶς ἔργα πονεῦμες;
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
βάλλομες ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
λαθόμεθ' ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα
χὼς βραχὺν ἐκ Μοίρας λάχομεν χρόνον;

(Bion, 10.)

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τέτραπον, οὗ μιὰ φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

(Sphinx in Oed. R.)

Ζῶον πολιτικόν.

(Aristotel.)

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γινώσκειν, οἷος ἕκαστος ἀνήρ.

(Zenodot. Stob. M. Flor. III, 4.)

Ἦ πολύμοχθον ἄρ' ἦν γένος,
ἦ πολύμοχθον ἁμερίων,
χρεὼν δέ τι δύσποτμον ἀνδράσιν ἀνευρεῖν.

(E. Iphig. A. 1330 sqq.)

Ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχεῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.

(A. Agam. 1327 sqq.)

Ἰώ, βροτοί, βροτοί, βροτοί, πολυτλήμονες.

(Ar. Pax, 236 sqq.)

Ἰὼ γενεαὶ βροτῶν,
ὡς ὑμᾶς ἴσα καὶ τὸ μη-
δὲν ζώσας ἐναριθμῶ.
τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον, ὅσον δοκεῖν
καὶ δόξαντ' ἀποκλῖναι;

(S. Oedip. R. 1186 sqq.)

Ἰώ, ἰώ, πανδάκρυτ' ἐφαμέρων
ἔθνη πολύπονα, λεύσσεθ' ὡς παρ' ἐλπίδας
μοῖρα βαίνει.

(E. Orest. 976 sqq.)

Καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅσπερ θνητός τ' ἐστι, καὶ οὐ τόσα μήδεα οἶδε.

(Hom. Il. XVIII, 362 sq.)

Κρίνει τις αὐτὸν πώποτ' ἄνθρωπον μέγαν,
ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον;

(E. Fr. incert. XVII.)

Μέμνησο, ἄνθρωπόν σε εἶναι.

(Simonid.)

Μέμνησ', ὅτι θνητὸς ὑπάρχεις.

(Phocylid. Admon.)

Μηδὲν ἀσεβέστερον ἀνθρώπου, μηδὲ ὠμότερον τῶν ζώων.

(Polybius.)

. . . μὴ σκυθρωπὸς ἴσθ' ἄγαν
πρὸς τοὺς κακῶς πράσσοντας ἄνθρωπος γεγώς.

(E. Fr. Ino, XV.)

Μὴ φῦναι τὸν ἅπαντα νι-
κᾷ λόγον· τὸ δ', ἐπεὶ φανῇ,
βῆναι κεῖθεν, ὅθεν περ ἥ-
κει πολὺ δεύτερον ὡς τάχιστα.
ὡς εὖτ' ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,
τίς πλάγχθη πολύμοχθος ἔ-
ξω; τίς οὐ καμάτων ἔνι;

(S. Oed. Col. 1224 sqq.)

Νηπιάχοις ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς.

(Simonid. Stob. LXXXXVIII, 29.)

. . . ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.

(E. Fr. Plisthen. III.)

Οἵηπερ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

(Hom. Il. VI, 146 sqq.)

Οἱ πλεῖστοι ἄνθρωποι κακοί.

(Bias, Stob. III. 79.)

Ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί· καὶ γὰρ οἶνον τὸν νέον
πολλή 'στ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον ἀφυβρίσαί τ', ἀπανθήσαντα δὲ
σκληρὸν γενέσθαι, παρακμάσαντα δ' ὧν λέγω
τούτων ἁπάντων, ἀπαρυθέντα τὴν ἄνω
ταύτην ἄνοιαν ἐπιπολάζουσαν, τότε
πότιμον γενέσθαι καὶ καταστῆναι πάλιν,
ἡδύν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

(Alexid. Meinecke, v. III, p. 405.)

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.

(S. Aias, 125 sq.)

. . . ὅστις ἀνθρώπου φύσιν
βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.

(S. Aias, 760 sq.)

Οὐδὲ μάκαρ πέλεται βροτὸς οὐδείς· ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

(Solon, VII, 1 sq.)

Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.

(Hom. Od. XVIII, 130 sq.)

Οὐκ ἂν δύναιο μὴ γενέσθαι, δεσπότα,
ἄνθρωπος ὢν, ἄνθρωπος· ἄλλως οὖν βοᾷς·
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.

(Phil. incert. Cl. 352.)

Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

(E. Orest. 1 sqq.)

Οὐκοῦν τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεί,
ἐπὰν γένηται δ' ὡς τάχιστ' ἔχειν τέλος.

(Alexid. Meinecke, v. III, p. 447.)

Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.

(Hom. Il. XVII, 446 sq.)

. . . οὕτω βίοτος ἀνθρώπων πλάνη.

(E. Fr. Palam. I.)

Οὐ τῷ ἀνθρώπῳ, ἀλλὰ τῷ ἀνθρωπίνῳ.

(Aristotel. Stob. XXXVII, 32.)

Οὕτως ἐγιγνώσκομεν περὶ αὐτῶν, ὡς ἀνθρώπῳ πάντων τῶν ἄλλων ζώων εἴη ῥᾷον ἢ ἀνθρώπων ἄρχειν.

(Xenoph. Cyropaed.)

Πάντα γέλως καὶ πάντα κόνις καὶ πάντα τὸ μηδέν·
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

(Antholog. Epigr. X, 124.)

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

(Theognis, 425 sqq.)

Πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων.

(E. Hippol. 189.)

Πολλὰ τὰ δεινά, κοὐδὲν ἀν-
θρώπου δεινότερον πέλει·
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ' οἴδμασιν,
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον ἀκαμάταν, ἀποτρύεται
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος

ἱππείῳ γένει πολεύων.
κουφονόων τε φῦλον ὀρ-
νίθων ἀμφιβαλὼν ἀγρεῖ
καὶ θηρῶν ἀγρίων ἔθνη,
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,
περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ὀχμάζεται ἀμφὶ λόφον ζυγὸν
οὔρειόν τ' ἄκμητα ταῦρον.
καὶ φθέγμα καὶ ἀνεμόεν
φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων ἐναίθρεια καὶ
δύσομβρα φεύγειν βέλη,
παντοπόρος· ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνου
φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμηχάνων φυγὰς ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
ποτὲ μὲν κακὸν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει.
νόμους γεραίρων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν,
ὑψίπολις· ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν.
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον φρονῶν ὃς τάδ' ἔρδει.

(S. Antigone, 332 sqq.)

. . . πολλοῖς ἐστιν ἀνθρώπων κακὰ,
τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν·
κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς
θνητῶν τε γενεᾷ· τοῖς μὲν αὔξεται βίος,
τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.

(E. Fr. Ino, XIX.)

Πολύ γ' ἐστι πάντων ζῶον ἀθλιώτατον
ἄνθρωπος, εἴ τις ἐξετάζοι κατὰ τρόπον.
τὸν γὰρ βίον περίεργον εἰς τὸ πάντ' ἔχων
ἀπορεῖ τὰ πλεῖστα διὰ τέλους, πονεῖ δ' ἀεὶ,

καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἡ γῆ θηρίοις
ἑκοῦσα παρέχει τὴν καθ' ἡμέραν τροφὴν,
αὐτὴ πορίζουσ', οὐ λαβοῦσα· πάνυ μόλις
ὥσπερ τὸ κατὰ χρέος κεφάλαιον ἐκτίει
τὸ σπέρμα τοὺς τόκους, ἀνευρίσκουσ' ἀεὶ
πρόφασίν τιν' αὐχμὸν, ἢ πάγην, ἵν' ἀποστερῇ.
καὶ δὴ τυχὸν μὲν διὰ τὸ παρέχειν πράγματα
μόνους ἑαυτῇ, καὶ ποιεῖν τἄνω κάτω,
ταύτην παρ' ἡμῶν λαμβάνει τιμωρίαν.

(Philem. incert. Meinecke, v. IV, p. 33.)

Τί ἐστι πολέμιον ἀνθρώποις; αὐτοὶ ἑαυτοῖς.

(Anacharsis, Stob. II. 73.)

Τί ποθ' ὁ Προμηθεὺς, ὃν λέγουσ' ἡμᾶς πλάσαι,
καὶ τἄλλα πάντα ζῶα, τοῖς μὲν θηρίοις
ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι,
δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί.
οὐκ ἔστ' ἀλώπηξ, ἡ μὲν εἴρων τῇ φύσει,
ἡ δ' αὐθέκαστος· ἀλλ' ἐὰν τρισμυρίας
ἀλώπεκάς τις συναγάγοι, μίαν φύσιν
ἁπαξαπάσαις ὄψεται, τρόπον θ' ἕνα.
ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμὸν
καθ' ἑνὸς, τοσούτους ἐστὶ καὶ τρόπους ἰδεῖν.

(Phil. incert. Meinecke, v. IV, p. 82.)

Τὸ γὰρ ἀποστῆναι χαλεπὸν
φύσεως, ἣν ἔχοι τις ἀεί.

(Ar. Vesp. 1458 sq.)

Τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά.

(A. Fr. 282.)

Τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν
ταπεινότητα ζῶον οὐδὲν λαμβάνει,
καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὂν
φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν,
ὅταν πέσῃ δὲ, πλεῖστα συντρίβει καλά.

(Men. incert., Meinecke, v. IV, p. 227.)

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων.

(Hom. Od. XVIII. 136.)

Τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.

(S. Fr. 436.)

Το μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα.

(A. Fr. 384.)

Τοὺς ἄνδρας ἀναπέπεικεν μὴ εἶναι θεούς.

(Ar. Thesmoph. 45.)

Φεῦ, τῆς βροτείας ποῖ προβήσεται φρενός;
τί τέρμα τόλμης καὶ θράσους γενήσεται;

(E. Hippol. 936 sq.)

Ὦ δυστυχεῖν φὺς καὶ κακῶς πεπραγέναι,
ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου
ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο
τρέφειν ὅδ' αἰθὴρ, ἐνδιδοὺς θνητοῖς πνοάς,
μὴ νῦν τὰ θνητὰ, θνητὸς ὢν ἀγνωμόνει.

(E. Fr. incert. 99.)

Ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
φρονεῖν λέγουσιν;

(E. Suppl. 734 sq.)

Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ,
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

(E. Medea. 516 sqq.)

Ὦ θνητῶν ἀνδρῶν καὶ ταλαιπώρων γένος,
ὡς οὐδέν ἐσμεν, πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.

(S. Fr. 682.)

Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε' ἔχουσιν.

(Hom. Od. I, 32 sqq.)

Ὦ, πονηρόν ἐστιν ἀνθρώπου φύσις
τὸ σύνολον· οὐ γὰρ ἂν ποτ' ἐδεήθη νόμου.
οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων
ἄνθρωπον; οὐδὲ μικρὸν, ἀλλὰ σχήματι,
πλάγι' ἐστι τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον.

(Philem., Meinecke, v. IV, p. 3.)

Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη.

(E. Fr. Belleroph. III.)

Ὡς δ' αὔτως καὶ φύλλα φύσει ζείδωρος ἄρουρα,
ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει, ἄλλα δὲ φύει·
ὣς δὲ καὶ ἀνθρώπου γενεὴ καὶ φύλλον ἑλίσσει.

(Musaeus, Clem. Alex. VI, 738.)

Ὡς χαρίεν ἔστ' ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ.

(Men. Monost. Meinecke, v. IV. p. 355.)

Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος.
οὔτ' εἰς ἔλεγχον οὐδὲν αὐτῶν ἔρχεται,
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
ἐπακτόν· ἣν δ' ἂν εἰσενέγκηται φύσιν,
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει,
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαισιν, εὑρόντες νόμους·
προγόνοισιν, ἐγγόνοισιν οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ, πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

(Philem. Meinecke, v. IV, p. 36.)

. . . ὦ φιλόζωοι βροτοί,
οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν
ποθεῖτ', ἔχοντες μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἐγκεῖται βίου.

(E. Fr. Phoenix, IX.)

Vide: *Ipse:* Ὅταν, Τὰ χρήστ'. — *Peccatum:* Ἀνθρώποισι, Ἐννόει, Οὐδένα, Οὐδ' ὁ πᾶς.

Honor (cf. Gloria).

— Πᾶν τὸ τιμώμενον αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον.

(Iambl.)

Hora (cf. Praesentia, Hodie, Cras).

Ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.

(Hes. Op. 407.)

Τῆς ὥρας ἀπόλαυε· παρακμάζει ταχὺ πάντα,
ἓν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.

(Anthol. XI.)

Hortatio, Monitio, Adhortatio (cf. Consolatio).

— Ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι
ἐστίν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.

(Philem. Meinecke, v. IV, p. 24.)

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γινώσκομεν.

(E. Fr. incert. 182.)

Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα
ἔχει, παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'.

(A. Prom. Vinct. 263 sqq.)

Εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.

(E. Iphig. A. 409.)

Ὁρῶ δὲ κἀγὼ ταῦθ', ἅπερ με νουθετεῖς.

(E. Suppl. 388.)

Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.
(Men. Monost. Meinecke, v. IV, p. 353.)

Ῥᾷον παραινέσαι ἑτέροις ἐστὶν ἢ παθόντα καρτερῆσαι.
(Dion, Nico.)

Σὺ δ' ἐκτὸς ὢν γε συμφορᾶς με νουθετεῖς.
(E. Hercul. Fur. 1249.)

Ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν, ἅπαντας νουθετῶ.
(Men. Stob. LXVIII, 4.)

Χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν.
(Ar. Eccl. 180.)

Χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
(S. Oed. Col. 22.)

Hospitalitas (cf. Alienus, Peregrinatio, Exilium).

. . . ἆρα τὸν ξένον
στυγῶ, δικαίως ἐν κακοῖς ἀφιγμένον.
(E. Alcest. 772 sqq.)

Καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακόν·
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
(E. Alcest. 557 sq.)

Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας.
(Hom. Od. XVII, 485 sq.)

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι.
(Theognis, 467 sq.)

— Μηδὲ πολύξεινον, μηδὲ ἄξεινον καλέεσθαι.
(Hes. Op. 713.)

Ὅδ' οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
ξένος δὲ πρὸς τράπεζαν ἡκέτω ξένων.
(E. Rhes. 336 sq.)

. . . οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι.
(Hom. Od. XIV, 56 sq.)

Οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
(Hom. Od. XVII, 455 sqq.)

Οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
εἶναι.
(E. Alcest. 774 sq.)

. . . οὔτι σ' ἔγωγε πολὺν χρόνον ἐνθάδ' ἐρύξω
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
Ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι

ξεῖνον ἐποτρύνει καὶ ὃς ἐσσύμενον κατερύκει.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

(Hom. Od. XV, 68 sqq.)

. . . Πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε, πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε.

(Hom. Od. VI, 207 sq.)

Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος
καὶ μνημονεύων οὐδὲν, ὧν ἐχρῆν, φίλον.

(E. Fr. incert. 50.)

Ὡς τὰ ξένων πρόσωπα φεύγουσιν φίλοις
ἓν ἦμαρ ἡδὺ βλέμμ' ἔχειν φασὶν μόνον.

(E. Hercul. Fur. 305 sq.)

Hostilitas, v. Inimicitia (cf. Odium).

Ἀθάνατον ἐχθρὰν μὴ φύλασσε θνητὸς ὤν.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

Ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί·
ἡ γὰρ εὐλάβεια σώζει πάντα· παρὰ μὲν οὖν φίλου
οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς εὐθὺς ἐξηνάγκασεν.
αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν ἐχθρῶν, κοὐ φίλων
ἐκπονεῖν θ' ὑψηλὰ τείχη, ναῦς τε κεκτῆσθαι μακράς.
τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα.

(Ar. Aves, 376 sqq.)

— Δεῖ τοῖς ἐχθροῖς καὶ περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα πιστεύειν.

(Thales, S. Or. I, 178.)

Δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος
ἢ θάτερον δεῖ δυστυχεῖν ἢ θάτερον.

(E. Ion, 848 sq.)

Ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δοκεῖ,
χρήσιμον· μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.

(Ar. Aves, 381 sq.)

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ,
τῖσαί νιν πρόφασιν μηδεμίαν θέμενος.

(Theognis, 363 sq.)

Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.

(Men. Monost. 95.)

Ἐχθρὸν κακῶς δρᾶν, ἀνδρὸς ἡγοῦμαι μέρος.

(E. Fr. incert. 66.)

Ἐχθρὸς ἀνὴρ μέν, ἀλλὰ τὴν δίκην σέβω.

(Stob. Ecl. IV, 30.)

Ἐχθρὸς οὐ μόνον ὁ ἀδικέων, ἀλλὰ καὶ ὃς ἀδικέειν βούλεται.

(Democrit.)

Ὁ δ' ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν.

(S. Aias, 1355.)

Οὐ γάρ ἔστιν, οὐκ ἔστι τῶν ἔξω (τῆς πόλεως) ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς.

(Demosth. Cherson.)

— Οὐκ ἂν ἐχθροὺς ἄλλως πως βλάψειεν ἄν τις, ἢ φίλος δοκῶν εἶναι.

(Xenophon.)

Οὔποθ' ὕδωρ καὶ πῦρ συμμίξεται· οὐδέ ποθ' ἡμεῖς
πιστοὶ ἐπ' ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

(Theognis, 1245 sq.)

Πρὸς τοῖς ὑπάρχουσιν ἐχθροῖς ἑτέρους διαφόρους ποιεῖν.

(Demosthenes.)

Τί τὸ σοφὸν, ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς,
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;

(E. Bacch. 877 sqq.)

— Τῷ μέλλοντι σώζεσθαι δεῖ φίλους ἀγαθοὺς ἢ διαπύρους ἐχθροὺς ὑπάρχειν· οἱ μὲν γὰρ διδάσκουσιν, οἱ δὲ ἐλέγχουσιν.

(Plutarch. Moral.)

Humilitas.

Τὸ σὸν ταπεινὸν, εἰ σὺ σεμνύνῃ, καλὸν
ἔξω φανεῖται, φίλ' ἄνερ, ἂν δ' αὐτὸς ποιῇς
ταπεινὸν, αὐτὸ καὶ τίθῃς ἐν μηδενὶ,
οἰκεῖος οὗτος καταγέλως νομίζεται.

(Men. incert. Meinecke, v. IV, p. 115.)

— Οὕτως ἕκαστός ἐστι διὰ τὰ πράγματα
ἢ σεμνὸς ἢ ταπεινός.

(Apollod. Meinecke, v. IV, p. 445.)

Hydra.

Ποικιλώτερος ὕδρας.

(Prov.)

Ὕδραν τέμνειν.

(Plato ap. Plutarch.)

Jactatio (cf. Magniloquentia, Superbia, Lingua).

Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει.

(S. Antigone, 127 sq.)

Ἡ ἀλαζονεία τῆς ἀνοίας ἐστὶν φρύαγμα.

(Socrat.)

Ἤδη πότ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίχ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς

πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.

(S. Aias. 1142 sqq.)

Κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

(S. Philoct. 842.)

Μήπω μέγ' εἴπῃς, πρὶν τέλος ἀντιάσας.

(Cicero.)

Μή ποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων, ὅ,τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

(Theognis.)

Ὁ τύφος, ὥσπερ ποιμήν, οὗ θέλει, τοὺς πολλοὺς ἄγει.

(Diog. Stob. XXII, 41.)

Οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγώ.

(E. Hippol. 950.)

. . . πᾶς ὁ μὴ φρονῶν
ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

(Men. incert., Meinecke, v. IV, p. 277.)

Τελευτᾷ γὰρ εἰς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τῷ κρείσσονι.

(Democrit. Stob. XXII, 42.)

Τῆς ἀλαζονείας (καθάπερ τῶν κεχρυσωμένων ὅπλων) οὐχ ὁμοῖά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.

(Pythagor. Stob. XXII, 40.)

Ignavia (cf. Pigritia, Timiditas, Labor).

Ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι
οὐκ ἔχοντες κέντρον· οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.

(Ar. Aves, 1114 sqq.)

Ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων.

(Solon, IV, 39.)

Ἀνανδρία γάρ, τὸ πλέον ὅστις ἀπολέσας
τοὔλασσον ἔλαβε.

(E. Phoen. 509 sq.)

Ἀνὴρ δ' ὃς εἶναι φῇς, ἀνδρὸς οὐκ ἄξιον
δειλὸν κεκλῆσθαι, καὶ νοσεῖν αἰσχρὸν νόσον.

(E. Fr. Phrix. XIII.)

Ἀργὸς πολίτης κεῖνος ὡς κακός γ' ἀνήρ.

(E. Fr. Mel. Vinct. XXI.)

Δειλαί τοι δειλαῖσιν ἐφεδρήσουσι πέλειαι.

(Antipater.)

Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ' ἄπεισι, κἂν παρῶσ' ὅμως.

(E. Fr. Meleagr. VI.)

Δειλοῦ γὰρ ἀνδρὸς δειλὰ καὶ φρονήματα.

(Men. Monost., Meinecke, v. IV, p. 343.)

Ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.

(S. Electra, 1027.)

Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.

(Hom. Il. XI, 390.)

Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί·
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ κηφήνεσσι κοθούροις εἴκελος ὀρμὴν,
οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες.

(Hes. Op. 300 sq.)

. . . τί γὰρ δεῖ, δειλὸν ὄντ' εὐσωματεῖν;

(E. Androm. 765.)

Τοὺς ἀγαθοὺς φίλει· τῶν δειλῶν ἀπέχου, γνοὺς, ἔτι δειλῶν ὀλίγη χάρις.

(Eusth. Comm. Homer.)

Φύλλων λαγῳοὺς ἐκφοβοῦσιν οἱ κτύποι·
ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.

(Men.)

Vide: *Amicitia:* Μηδεὶς. — *Audacia:* Εἰς μυρίους.

Ignis.

Ἐλαίῳ πῦρ σβεννύεις;

(Lucian. Timon.)

Μὴ πῦρ ἐπὶ πῦρ.

(Plato.)

Ignominia, v. Contumelia.

Ignorantia (cf. Stultitia, Imperitia, Inscitia; Scientia).

Ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.

(Philem. incert. Meinecke, v. IV, p. 31.)

Ἅπαντ' ἐρίζεις καὶ συνίεις οὐδὲ ἕν.

(Philonid. incert. Meinecke, v. II, p. 425.)

— Βέλτιον ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς.

(Chrysost.)

Βέλτιον ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ.

(Philistion, Stob. M. Flor. XVI, 138.)

Ἐξ ἀμαθίας πάντα κακὰ πᾶσιν ἐῤῥίζωται καὶ βλαστάνει.

(Plato.)

Ἡ ἄγνοια μεμίανται τῇ κακίᾳ.

(Prov.)

— Κρύπτειν ἀμαθίην κρέσσον, ἢ ἐς μέσον φέρειν.

(Heraclit. Stob. III, 82.)

Μεγάλην παιδείαν νόμιζε δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

(Pythagor. Stob. XIX, 8.)

Νεφέλη πραπίδεσσι κελαινή (= ἀμαθία).

(Prov.)

Ὡς δυσπέλαστόν ἐστιν ἡ ἀμαθία κακόν.

(S. Fr. 630.)

Imitatio.

— Ἀγαθὸν ἢ εἶναι χρεὼν, ἢ μιμέεσθαι.

(Democrit. Stob. XXVII, 23.)

. . . ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.

(Ar. Thesmoph. 156 sq.)

Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.

(Men. Monost. Meinecke, v. IV, p. 340.)

Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ μιμεῖσθε.

(Isocrat. Nicocl.)

. . . οὐκέτ' ἀνθρώπους κακοὺς
λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν κακὰ
μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.

(E. Ion, 449 sqq.)

Ῥᾷον μωμᾶσθαι, ἢ μιμεῖσθαι.

(Prov.)

Imperium (cf. Regnum, Dux, Gubernator, Magistratus).

Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι,
ἄρχεσθαι γὰρ μαθὼν ἄρχειν ἐπιστήσῃ.

(Solon. ap. Stob.)

Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων.

(Prov.)

Βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.

(S. Aias, 765)

Ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι,
ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος
τὰ πάντα.

(E. Fr. Syleus, VIII.)

Κάκιστος ὁ ἄρχων ὁ ἄρχειν ἑαυτοῦ μὴ δυνάμενος.

(Cato ap. Plutarch.)

— Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν.

(Democrit. Stob. XXXXIV, 14.)

Μέγα οἶμαι ἔργον τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον τὸ λαβόντα διασώσασθαι.

(Incerti auctoris.)

Μὴ νεῖκος, ὦ γεραιὲ, κοιράνοις τίθου·
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

(E. Fr. Dictys, XVIII.)

Μὴ 'πίτασσ', ἃ μὴ κρατεῖς.

(S. Oedip. Col. 839.)

Μισῶ δ' ὅταν τὶς καὶ χθονὸς στρατηλάτης
μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα.

(E. Fr. Erechth. VIII.)

Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω.
(Hom. Il. II, 204.)

Οὐκ ἔστιν εὖ ἄρχειν μὴ ἀρχθέντα.
(Pythagoras.)

Οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί.
(Hom. Il. II, 203.)

Οὐ προσήκει τὸν ἄρχοντα τῶν ἀρχομένων πονηρότερον εἶναι.
(Prov.)

Οὐ τὸν κρατοῦντα χρὴ κρατεῖν, ἃ μὴ χρεών.
(E. Hecub. 282.)

Παντὶ ἄρχοντι προσήκει φρονίμῳ εἶναι.
(Xenoph. Cyropaed.)

Παραπλήσια ἔργα νομέως ἀγαθοῦ, καὶ βασιλέως ἀγαθοῦ.
(Prov.)

Τάσσειν δὲ μᾶλλον ἢ 'πιτάσσεσθαι θέλεις.
(E. Fr. Syleus, III.)

Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς
γνῶναι τὸν ἐχθρὸν, ᾗ μάλιστ' ἁλώσιμος.
(E. Fr. Temenos, IX.)

— Τὸν μέλλοντα καλῶς ἄρχειν, ἀρχθῆναί φασι δεῖν πρῶτον.
(Aristotel. Politic.)

Τρία ἀξυμφορώτατα τῇ ἀρχῇ· οἶκτος καὶ ἡδονὴ λόγων καὶ ἐπιείκεια.
(Thucydid.)

Τῶν δ' ἀρχόντων ἔργον ἐστὶ, τοὺς ἀρχομένους ταῖς ἑαυτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστάτους.
(Isocr. De Pace.)

Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
(S. Electra, 340.)

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.
(Prov.)

Ὧι δ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς, μήτε πιεζόμενος.
(Solon.)

. . . ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἣν ἔχων τύχῃ.
(E. Iphig. A. 375.)

Indagatio (cf. Exploratio).

Μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν καλόν.
(S. Fr. Aload. 104.)

Indoles (cf. Ingenium, Natura, Mens, Animus).

Ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
(S. Philoct. 902 sq.)

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανερὰν, ἐν δὲ χρυσοῦ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.
(Chilo, Or. I, 168.)

Τὴν φύσιν ἔδειξας, ὦ τέκνον, ἐξ ἧς ἔβλαστες.

(S. Philoct. 1310.)

Infamia (cf. Contumelia).

Ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν.

(S. Trach. 721.)

Infans (cf. Pueri, Liberi).

Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;

(E. Fr Auge, VI.)

Inferior (cf. Superior).

Τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.

(A. Suppl. 489.)

Initium (cf. Prooemium, Finis, Primus).

Ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται, ὥστε πυρὸς
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.

(Solon, IV, 14.)

Ἀρχὴ ἥμισυ παντός.

(Prov.)

Ἄκρον λαβὲ καὶ μέσον ἕξεις.

(Prov.)

— Ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη.

(E. Iphig. A. 990.)

— Ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν.

(Isocr. Dem. 13)

. . . ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.

(S. Oedip. R. 120 sq.)

Ἔργου δὲ παντὸς ἥν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν.

(S. Fr. 715.)

Ἡ μὲν γὰρ ἀρχὴ παντὸς ἔργου μέγιστον· ἥμισυ γάρ.

(Aristotel.)

— Κακῆς ἀπ' ἀρχῆς γίγνεται τέλος κακόν.

(E. Fr. Aeol. XII.)

Ὁ γὰρ . . . πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.

(A. Eumenid. 582 sq.)

Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει.

(E. Androm. 642 sq)

Insania (cf. Dementia), v. Mens.

Μετὰ γὰρ νοσούντων καὶ τὸ μαίνεσθαι καλόν.

(Sueton.)

Οὐδὲ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.

(Antisth. Stob. LXXXII, 8.)

. . . τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει.

(E. Bacch. 295 sq.)

Τὸ γὰρ ὀρθοῦσθαι γνώμην ὀδυνᾷ,
τὸ δὲ μαινόμενον κακόν.

(E. Hippol. 247 sq.)

Insidiae (cf. Deceptio, Dolus).

Λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀῤῥωδία μοι μή τι βουλεύσῃς κακόν.

(E. Medea, 316 sq.)

Insolentia (cf. Arrogantia, Superbia).

. . . μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον.

(Hom. Od. VI, 274.)

. . . σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἄμεινον ἡγήσῃ ποτέ.

(A. Prom. Vinct. 1033 sqq.)

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
οὐ πώποθ' ὕβρισ', αὐτὸς ὀῤῥωδῶν παθεῖν.

(E. Fr. Androm. XIX.)

Τίκτει κόρος ὕβριν, ἀπαιδευσία δὲ μετὰ ἐξουσίας ἄνοιαν.

(Solon.)

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

(Theognis, 153 sq.)

Τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.

(A. Prom. Vinct. 964 sq.)

Invidia.

Ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος.

(Chares, Stob. XXXVIII, 4.)

Ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.

(A. Prom. Vinct. 626.)

Ἅπαν τὸ λίαν σύνετόν ἐστ' ἐπίφθονον.

(Dionys. incert. Meinecke, v. III, p. 555.)

Δῆλον, ὡς ἀνὴρ γὰρ οὐδείς ἐσθ' ὁ μὴ φθονούμενος.

(Epicharm. Stob. XXXVIII, 21.)

Ἐγὼ δ' ἐν ἀνθρώποισι μέχρι τοῦ δοκῶ
εὖ πράττειν, μέχρις ἂν φθονεῖσθαί μοι δοκῶ.

(Chares, Stob.)

Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἄεργος
πλουτοῦντα.

(Hes. Op. 810 sq.)

Εἰσίν τινες νῦν, οὓς τὸ βασκαίνειν τρέφει.

(Dionys. incert. Meinecke, v. III, p. 555.)

Ἐργῶδές ἐστιν, ἐν βίῳ βεβιωκότα
τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.

(Nicomach. Stob. XXXVIII, 10.)

. . . ζηλοῖ δέ τε γείτονα γείτων.

(Hes. Op. 23.)

Ζηλοτυπία ἅπαξ ἐμπεσοῦσα ψυχῇ δυσέκλειπτόν ἐστιν.

(Or. I, 10.)

Ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας
ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.

(E. Fr. Belleroph. VI.)

Ἡ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

(Bion, Stob. XXXVIII, 50.)

Ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον.

(Pind. Pyth.)

Καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

(Hes. Op. 26.)

. . . κρέσσων γὰρ οἰκτιρμῶν φθόνος.

(Pind. Pyth. I. 163.)

Αὐτὸς γενόμενος τοῖς ἔχουσι μὴ φθόνει.

(Dionys. incert., Meinecke, v. III, p. 555.)

Μὴ φθόνει τοῖς εὐτυχοῦσιν, μὴ δοκῇς εἶναι κακός.

(Chares, Stob. XXXVIII, 3.)

Μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς·
ἄφθονοι οὐρανίδαι, καὶ εἰ ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς,
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα,
οὐ ποταμοὶ πελάγεσσιν, ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.

(Phocylid. Adm. 66: Stibl. Annotationes in »Phoen.«)

Νόσων χαλεπωτάτη φθόνος.

(Men. Lucian.)

Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

(A. Agam. 939.)

Ὁ δὲ τὸ κάκιστον τῶν κακῶν φθόνος·
φθιτικὸν πεποίηκε καὶ ποιήσει καὶ ποιεῖ
ψυχῆς πονηρᾶς δυσσεβὴς παραστάτης.

(Men. incert. Cl. 290.)

Οἱ φθονεροὶ οὐ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.

(Hippias ap. Plutarch.)

Οἱ γὰρ μετὰ φθόνου κρίνοντες τὸ πρωτεῖον ἀπονέμουσι τοῖς χειρίστοις, οὐ τοῖς βελτίστοις.

(Anaxim. Stob. XXXVIII, 44.)

Ὅσοι γὰρ τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνου οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἂν τοῖς ἔργοις ὠφελήσαιεν.

(Anaxim. Stob. XXXVIII, 75.)

Ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ μειζόνων γίνῃ πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ.

(Periander.)

Οὐδενὶ φθονητέον· ἀγαθοὶ μὲν γὰρ ἄξιοι· κακοὶ δ' ἂν εὐτυχῶσι, κακῶς ζῶσιν.

(Apollon. Stob. XXXVIII, 58.)

Οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.

(Agathon. Stob. XXXVIII, 12.)

Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρή,
γύναι, τὸ λίαν, καὶ φυλάσσεσθαι φθόνον.

(E. Fr. Antiop. XVIII.)

Οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν.

(Hom. Od. XVIII, 16 sqq.)

Ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λυπέει.

(Demon. Stob. XXXVIII, 47.)

Ὁ φθονερὸς αὑτῷ πολέμιος καθίσταται·
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.

(Men. Meinecke, v. IV, p. 254.)

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

(Anthol. X, 3.)

Ὁ φθόνος ἐν ἑαυτῷ τοῦθ' ἓν ἐπιεικῶς ποιεῖ·
τὸν αἱρετιστὴν ὄντα τῶν αὐτοῦ τρόπων
λυμαίνεται μάλιστα διὰ παντὸς, συνών.

(Phil. incert. Meinecke, v. IV, p. 50.)

Ὁ φθόνος ἕλκος ἐστὶ τῆς ψυχῆς.

(Socrat. Stob. XXXVIII, 48.)

Ὁ φθόνος ἐστὶ κάκιστον, ἔχει δέ τι καλόν ἐν αὐτῷ·
τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

(Anthol.)

Ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγὸς ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

(Aristonym. Stob. XXXVIII, 36.)

. . . ὄψον
δὲ λόγοι φθονεροῖσιν,
ἅπτεται δ' ἐσλῶν ἀεὶ,
χειρόνεσσι δ' οὐκ ἐρίζει.

(Pind. Nem. VIII, 36 sqq.)

. . . πάντα τὰ λυμαινόμεν' ἔνεστιν ἔνδοθεν.
οἷον ὁ μὲν ἰὸς τὸν σίδηρον, ἂν σκοπῇς,

τὸ δ' ἱμάτιον οἱ σῆπες, ἡ δὲ θρὶψ ξύλον.

(Men. incert. Meinecke, v. IV, p. 235.)

Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν·
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοίζει τῷ πεπαμένῳ νόσον,
τοῖς δ' αὐτὸς αὑτὸν πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.

(A. Agam. 832 sqq.)

Πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον,
ὅπως ἀκούων πολλὰ μηδὲ ἓν μάθω.

(Phil. Meinecke, v. IV, p. 55.)

Πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.

(Tragicum Episodium, Stob. CV. 51.)

Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.

(S. Aias, 157.)

Τὰ καλά, κἂν φθόνῳ πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιρῷ λυθέντα αὖθις ἀναλάμπει.

(Or. I, 410, 10.)

Τίς δ' ἄρα μήτηρ ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;
ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
ἐν χερσίν, ἢ σπλάγχνοισιν, ἢ παρ' ὄμματα
ἔσθ' ἡμίν; ὡς ἦν μόχθος ἰατροῖς μέγας
τομαῖς ἀφαιρεῖν, ἢ ποτοῖς, ἢ φαρμάκοις
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

(E. Fr. Ino. XI.)

Τοῖς κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν.

(Isocrates.

Τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ.
ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.
ἐὰν τὸ λίαν συνετὸν ἐστ' ἐπίφθονον.

[illegible] Meinecke, v. III, p. 555.)

Τοῖς μὲν διὰ φύσιν περικειμένοις ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

(Socrat. Stob. XXXVIII. 34.)

Τὸ λέγω δὲ χρὴ φθόνον [illegible]

(Pind.)

Τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
τοὔλασσον

E. Phoen. 540 sq.

Φθονοῦσιν [illegible] ἀλλὰ τὰ ἀλλότρια ἀγα-θά· [illegible] ἀλλὰ τὰ τοῦ πέλας κακά.

(Or. I, 410, 9.)

Φθόνον οὐ σέβω, φθονεῖ-
σθαι δ' ἐθέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.

(E. Fr. Phoenix, VI.)

Φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν
ἀπώλεσ' αὐτόν.

(E. Fr. Oedip. X.)

Φθόνος κάκιστος κἀδικώτατος θεὸς
κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται.

(Hippothoon, Stob. XXXVIII, 15.)

Φθόνος τῆς ψυχῆς πρίων ἐστίν.

(Socrates.)

Φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες,
εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.

(E. Fr. Belleroph. V.)

Φθόνῳ τοῦτο μόνον πάρεστιν ἀγαθόν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν.

(Isocrates.)

Χαίρω σ' ὁρῶν φθονοῦντα τοῦτ' εἰδώς, ὅτι
ἓν δρᾷ μόνον δίκαιον, ὧν ποιεῖ φθόνος·
λυπεῖ γὰρ αὐτὸ κτῆμα τοὺς κεκτημένους.

(Carcinus, Stob. XXXVIII, 18.)

Χρὴ δ' ἢ λέγειν τι χρηστόν, ἢ λέγουσιν εὖ
μὴ δυσμεναίνειν τῷ φθόνῳ νικώμενον.

(Hippothoon, Stob. XXXVIII, 17.)

Ὥσπερ αἱ γῦπες πρὸς τὰ δυσώδη φέρονται πολλοὺς μὲν λειμῶνας, πολλοὺς δὲ ἡδεῖς καὶ εὐώδεις τόπους ὑπερπτάμεναι· καὶ αἱ μυῖαι τὸ μὲν ὑγιαῖνον παρατρέχουσι, πρὸς δὲ τὸ ἕλκος ἐπείγονται· οὕτως οἱ βάσκανοι τὰς μὲν τοῦ βίου λαμπρότητας καὶ τὰ μεγέθη τῶν κατορθουμένων οὐδὲ προσβλέπουσι, τοῖς δὲ σαπροῖς ἐπιτίθενται.

(Or. I, 412, 15.)

Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτως φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα.

(Stob. XXXVIII, 52.)

Ὥσπερ ὁ ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναψήχει.

(Stob. XXXVIII, 51.)

Ipse (cf. Alius, Homo), *Nosce te ipsum.

— Αἰδοῦ σεαυτὸν καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

(Theophrast.)

. . . ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας, αὐταὶ
πεισόμεθ' ὥσπερ τὸ δίκαιον.

(E. Ion, 1246 sqq.)

Αὐτοὶ χελώνας ἐσθίεθ', οἵπερ εἵλετε.

(Prov.)

Αὐτὸς αὑτὸν αὐλεῖ.

(Chiliad. 436.)

Γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους.

(A. Prom. Vinct. 309.)

ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

(Chilon.)

Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.

(Men. Monost., Meinecke, v. IV, p. 344.)

— . . . εἰς μὲν αὑτὸν ἀσφαλὴς
ἀεί ποτ' ἐστίν, εἰς δὲ τοὺς πέλας νοσεῖ.

(Sclerius, Stob. XVIII, 2.)

Ἦ πάνθ' ὅμοια πᾶς ἀνὴρ αὑτῷ πονεῖ.

(S. Aias, 1366.)

* Κατὰ πόλλ' ἄρ' ἐστιν οὐ καλῶς εἰρημένον
τὸ »γνῶθι σαυτόν«· χρησιμώτερον γὰρ ἦν
τὸ »γνῶθι τοὺς ἄλλους«.

(Men. Cl. 86.)

— Μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

(Democrit. Stob. XXXI, 7.)

— Ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον,
πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά;

(Euphron. Meinecke, v. IV, p. 490.)

— Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίγνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι.

(Apoll. Satir.)

Ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει, Σάμον θέλει.

(Chilon, 232.)

— Ὅταν ἄλλου τινὸς φροντίζῃς, τότ' ἀμελεῖς σαυτοῦ.

(Diog. Stob. XVI. 55.)

Ὅταν εἰδέναι θέλῃς σεαυτὸν, ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαθ', ὡς ὁδοπορεῖς.
ἐνταῦθ' ἔνεστιν ὀστέα καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὑτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων,
ἀλλ' οὐδὲν αὐτῶν τῶνδ' ἐπήρκεσεν χρόνος,
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦθ' ὁρῶν γίγνωσκε σαυτὸν, ὅστις εἶ.

(Men. incert. Meinecke, v. IV, p. 233.)

— Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν,
αὐτὸς τὰ σαυτοῦ πρῶτον δὴ σκέπτου κακά.

(Men. incert. Meinecke, v. IV, p. 270.)

— Οὐδεὶς ἐφ' αὑτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε,
σαφῶς· ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται.

(Men. incert. Cl. 214.)

— Οὐδεὶς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο, κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβεν.

(Cephissidor. Stob. XXIX, 98.)

. . . οὐδὲν ἀγγέλων σθένος
ὡς αὐτὸν αὐτῶν ἄνδρα πεύθεσθαι πέρι.

(A. Choëph. 849 sq.)

Οὐδὲν οὕτως ἡμέτερόν ἐστιν, ἢ ἡμεῖς ἡμῖν αὐτοῖς.

(Xenoph. Cyropaed. IV, 3, 3.)

Πάντων δὲ μάλιστ' αἰσχύνεο σεαυτόν.

(Pythagor. Sent. Aur.)

— Πολλῷ γ' ἀμείνων τοὺς πέλας φρονῶν ἔφυς,
ἢ σαυτόν.

(A. Prom. Vinct. 335 sq.)

. . . σαυτῆς πέρι
φρόντιζ'· ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.

(E. Hippol. 708 sq.)

— Σαυτὸν ἐπιτρίβεις, οὐκ ἐκεῖνον ὠφελεῖς.

(Men. incert. Cl. 226.)

Σαυτῷ γὰρ εἴτε δυστυχὴς, εἴτε εὐτυχὴς ἔφυς.

(Prov.)

— Σοφώτερον γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντας διαιρεῖν, ἢ τύχας τὰς οἰκόθεν.

(E. Fr. Alcmene, XIII.)

Συνδοκεῖ, ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι.

(Apoll. Rhod. IV, 1116.)

Σύ τοι, σύ τοι κατηξίωσας,
ὦ βαρύποτμ', οὐκ ἄλλοθεν
ἔχει τύχᾳ τᾷδ' ἀπὸ μείζονος,
εὖτέ γε, παρὸν φρονῆσαι,
τοῦ λῴονος δαίμονος εἷλου τὸ κάκιον ἑλεῖν.

(S. Philoctet. 1095 sqq.)

Τὰ μὲν ἔργα παρ' ἡμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος.

(Demosth.)

Ταῦτ' ἐστὶν ἄλγιστ', ἣν παρὸν θέσθαι καλῶς
αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων.

(S. Fr. 331.)

Τὴν σεαυτοῦ φύσιν κατάμαθε.

(Epictet.)

— Τηρεῖν μὲν ἑτέρους οἱ γέροντες δυνάμεθα,
ἡμεῖς δ' ἀπολαβεῖν, ὧν ἔχουσιν οἱ νέοι.

(Meinecke, Fr. incert., v. IV, p. 692.)

Τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;

(S. Oed. Col. 309.)

Τίς δ' οὐχὶ θνητῶν ἄρτι γινώσκει τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ;

(E. Medea, 84 sq.)

*Τὸ »γνῶθι σαυτὸν« ἐστὶν, ἂν τὰ πράγματα
ἴδῃς τὰ σαυτοῦ καὶ τί σοι ποιητέον.

(Men. Meinecke, v. IV, p. 156.)

*Τὸ »γνῶθι σαυτὸν« οὐ μάτην εὖ οἶσθ', ὅτι
τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

(Philem. Meinecke, v. IV, p. 55.)

*Τὸ »γνῶθι σαυτὸν« τοῦτ' ἔπος μὲν οὐ μέγα,
ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν.

(Ion, Fr. 53.)

Τὸ μὴ εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις
ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

(E. Fr. incert. 7.)

Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;

(S. Aias, 1367.)

Vide: *Conscientia:* Ὅστις. — *Deus:* Αὐτός. — *Miseria:* Ὁ γάρ. — *Sapientia:* Μισῶ. — *Veritas:* Ὁ βούλεται. — *Victoria:* Ἀνδρειότερος.

Ira (cf. Bilis).

. . . ἀλλὰ νικῶμαι κακοῖς,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

(E. Medea, 1077.)

Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν.

(Hom. Il. XVI, 60 sq.)

Ἀλλ' εἶκε θυμῷ καὶ μετάστασιν δίδου.

(S. Antigone, 718.)

Ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

(Hom. Il. IX, 493 sq.)

Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν.

(Men. Monost., Meinecke, v. IV, p. 340.)

Ἅπανθ', ὅσα ὀργιζόμενος ἄνθρωπος ποιεῖ,
ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα.

(Men. Meinecke, v. IV, p. 274.)

Εἰ καὶ σφόδρ' ἀλγεῖς, μηδὲν ἠρεθισμένος
πράξῃς προπετῶς, ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.

(Men. incert. Meinecke, v. IV, p. 241.)

Ἐν ὀργῇ μήτε τι λέγειν, μήτε πράττειν.

(Diogenes.)

Ἐν τοῖς κακοῖσι συγγένει' ὅτ' ἂν παρῇ
τραχεῖα κὠξύθυμος, ἀμαθίαν ἔχει.

(E. Fr. incert. 166.)

. . . ἐντὶ δὲ πικρὸς
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.

(Theocrit. I [IV], 17 sq.)

Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

(E. Fr. Hypsipyle, VIII.)

Ἐπιπολάζειν οὔ τι χρὴ τὸν θυμόν, ἀλλὰ τὸν νόμον.

(Epicharm. Stob. XX, 9.)

A. Ἐπίσχες ὀργιζόμενος. B. Ἀλλὰ βούλομαι,
οὐδεὶς γὰρ ὀργῆς χάριν ἀπείληφεν, πάτερ.

(Men. incert. Cl. 210.)

Ἡγοῦ δ' ἐν ὀργῇ πάντα γίνεσθαι κακά.

(Chaerem. Stob. XX, 15.)

Ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον, ἤ μ' ἐχρῆν.

(E. Helen. 80.)

Ἦν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
μείζων· ἐμοὶ δὲ κέρδος ἡ προθυμία.

(E. Androm. 689 sq.)

Ἢ οὐχ ὁρᾷς, ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ, φεύγων τὸν θυμὸν, ὡς πικρὸν τύραννον;

(Aristotel. Stob. XX, 47.)

Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων.

(Hom. Il. II, 196.)

Θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο, πλὴν
θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.

(S. Oed. Col. 954 sq.)

Θυμῷ μάχεσθαι μὲν χαλεπὸν, ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

(Democrit. Stob. XX, 56.)

. . . ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ἢ νῦν φέρει.

(S. Antigone, 1087 sq.)

. . . καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ' ὀργάνειας.

(S. Oed. R. 334 sq.)

Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.

(Democrit. Or. I, 120.)

Λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.

(E. Medea, 615.)

Μαινόμεθα πάντες, ὁπότ' ἂν ὀργιζώμεθα,
τὸ γὰρ κατασχεῖν ἐστι τὴν ψυχὴν πόνος.

(Phil. Meineke, v. IV, p. 54.)

Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν.

(E. Medea, 109 sq.)

Μὴ 'πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.

(Men. incert. Meineke, v. IV, p. 291.)

Μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι.

(Hom. Il. XVI, 282.)

Μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους,
οὓς σοι κομίζω· τὸν κλύοντα γὰρ λαβὼν
ὁ μῦθος εὔνουν οὐ μάτην λεχθήσεται.

(Moschion, Stob. LXVI, 14.)

Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.

(Men. Monost. Meineke, v. IV, p. 350.)

Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν.

(Hom. Il. XIX, 67 sq.)

Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

(E. Fr. incert. 180.)

Ὁ θυμὸς ἔσχατον γηράσκει.

(Prov.)

. . . οἶδ' ἐγὼ γνώσει κακοῦ
θυμοῦ τελευτήν, ὡς κακὴ προσγίγνεται

(S. Oed. Col. 1196 sq.)

Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο
δειναί· πλάνος δὲ καρδίᾳ προσίσταται.

(E. Fr. incert. 164.)

Ὀργὰς ξυνοίσω σοι, γεραιτέρα γὰρ εἶ.

(A. Eumenid. 848.)

Ὀργῇ βιασθὲν μᾶλλον, ἢ γνώμῃ φρενῶν.

(S. Oed. R. 524.)

Ὀργὴ γὰρ ἅμα σοῦ καὶ τὸ γῆρας οὐ σοφόν.

(E. Orest. 490.)

Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.

(E. Fr. Aeol. XIII.)

Ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.

(Phocyl. Admon. 59.)

Ὀργὴ δὲ πολλοὺς δρᾶν ἀναγκάζει κακά.

(Chaerem. Stob. XX, 15.)

Ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα,
πόλλ' ἐστιν ὀργῆς τῆς ἀπαιδεύτου κακά.

(E. Fr. incert. 165.)

Ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν δ' ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.

(S. Oed. R. 337 sq.)

Ὀργῇ παραλογισμός ποτ' οὐδ' εἷς φύεται.
αὕτη κρατεῖ νῦν, ἂν δὲ μικρὸν παρακμάσῃ,
κατόψεταί τι μᾶλλον εἰς τὸ συμφέρον.

(Men. incert. Meineke, v. IV, p. 252.)

. . . ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.

(Men. Meineke, v. IV, p. 241.)

Ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.

(S. Electra, 610 sq.)

Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.
(Men. incert. Meineke, v. IV, p. 294.)

Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.
(S. Fr. 514.)

Οὐδὲ εἷς οὐδὲν μετ' ὀργῆς κατὰ τρόπον βουλεύεται.
(Epicharm. Stob. XX, 10.)

Οὐδεὶς οὐδὲν μετ' ὀργῆς εὖ βουλεύεται.
(F. Fr. Archel. Stob. XX, 9.)

Οὐδὲν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.
(Theognis, 1223 sq.)

Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικεν, φάρμακον,
ἀλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.
(Men. Monost. Meineke, v. IV, p. 256.)

Οὔκουν, Προμηθεῦ, τοῦτο γινώσκεις, ὅτι
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
(A. Prom. Vinct. 377 sq.)

Οὐ μὴν οὐδὲ μετ' ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν· ἀλόγιστον γὰρ θυμὸς, καὶ μετὰ προνοίας οὐδὲν ἂν ποτε ποιήσειεν.
(Theophrast. Stob. XIX, 12.)

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
(E. Medea, 446 sq.)

Πολλά ἐστι τοῦ θυμοῦ φοβερὰ, πολλὰ δὲ καὶ γελοῖα.
(Plutarch. de Xerxe.)

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.
(Euenus, Stob. XX, 2.)

Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.
(S. Fr. Tyro, 581.)

Πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.
(E. Fr. Archel. XXII.)

Πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν
ἥ τ' ἀξυνεσία, δύο κακὼ τῷ χρωμένῳ.
(E. Fr. Archel. XXXVI.)

Σὺ δὲ μὴ πρὸς ὀργήν, ἀλλὰ πραόνως
ἔλεγχ', ἐλέγχου.
(Ar. Ranae, 856 sq.)

. . . σὺ μήτ' ὀργῆς ὕπο
ἀποτρέπου τἀληθές.
(E. Iphig. A. 335 sq.)

Στυγνὸς μὲν εἴκων δῆλος εἶ, βαρὺς δ', ὅταν
θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.
(S. Oed. R. 673 sqq.)

Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία.

(Apoll. Maced. Stob. XX, 49.)

Τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἐστιν εὐθὺς πᾶσι μικροψυχίας.

(Men. incert. Meineke, v. IV, p. 96.)

Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς ἐπιλύει· ὁ δ' ἐπιεικὴς λόγος τὰς ὀργάς.

(Pythagor. Or. I.)

Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μηδὲ θεραπευόμενον φυσικὴ νόσος γίγνεται.

(Apoll. Maced. Stob. XX, 50.)

Ὥιτινι μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις,
 Κύρνε, καὶ ἐν μεγάλαις κεῖται ἀμηχανίαις.

(Theognis, 634 sq.)

Ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορος.

(S. Oed. Col. 562.)

Ὥρα σε θυμοῦ κρέσσονα γνώμην ἔχειν.

(E. Fr. Teleph. XXIV.)

Ὡς γὰρ δι' ὁμίχλης τὰ σώματα, καὶ δι' ὀργῆς τὰ πράγματα μείζονα φαίνεται.

(Plutarch. De Ira.)

— Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,
οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

(E. Fr. Philoct. IX.)

. . . ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες.

(A. Prom. Vinct. 315.)

Jucunditas, Suavitas.

Δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφότερα ἐξῇ, λαμβάνειν.

(Incerti auctoris.)

Judicium.

Ἣν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσει.

(Phocyl. Admon. 9.)

— Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.

(Men. Monost. Meineke, v. IV, p. 248.)

Κρίσει δικαίᾳ καὶ δίδου καὶ λάμβανε.

(Phil. Comp. Meineke, v. IV, p. 63.)

Κριτὴς μὴ κάθησο· εἰ δὲ μή, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ.

(Incerti auctoris.)

Οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.

(A. Suppl. 402.)

Τίς ἂν δίκην κρίνειεν ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;

(E. Heraclid. 179 sq.)

Φαῦλος κριτὴς παντὸς καλοῦ πράγματος ὄχλος.

(Pythagor.)

Junctio, Coniunctio.

. . . ἀλλ' εἴ τίς μοι ἀνὴρ ἅμ' ἕποιτο καὶ ἄλλος,
μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται.
σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν,
ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴ πέρ τε νοήσῃ,
ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις.

(Hom. Il. X, 222 sqq.)

. . . ταῦτα δ' ἅμα χρὴ
σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.

(Hom. Il. XIII, 235 sqq.)

Jusiurandum, Juramentum.

Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.

(Men. Monost. Meineke, v. IV, p. 341.)

— Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

(E. Hippol. 612.)

Καινοὺς πορίζου πρός με, πρὸς θεῶν, θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ 'πιορκῇς πολλάκις.

(Euphron. Stob. XXVIII, 11.)

Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παραθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

(Isocr. Stob. XLI, 10.)

Ὅρκοις ἄνδρας, ἀστραγάλοις δὲ παῖδας ἐξαπατητέον.

(Lysander.)

Ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.

(A. Eumenid. 423.)

Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι, οὔτε δίκαιον.

(Choeril. Stob. XXVII, 1.)

Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

(Hes. Theogon. 231 sqq.)

Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μή, ἐκ τῶν ἐνόντων.

(Epictet. Ench. 33.)

Ὅρκος βέβαιός ἐστιν, ἂν νεύσω μόνον.

(Alexid. Meineke, v. IV, p. 420.)

Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.

(S. Fr. incert. 671.)

Ὅρκος ἑταίρας ταὐτὸ καὶ δημηγόρου,
ἑκάτερος αὐτῶν ὀμνύνει πρὸς ὃν λαλεῖ.

(Diphil. Meineke, v. IV, p. 421.)

Ὅρκου δὲ προστεθέντος, ἐπιμελεστέρα
ψυχὴ κατέστη, δισσὰ γὰρ φυλάσσεται·
φίλων τε μέμψιν, κεἰς θεοὺς ἁμαρτάνειν.

(S. Fr. 419.)

Ὅρκους, οὓς ποιέονται ἐν ἀνάγκαισιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

(Democrit.)

Ὅστις γὰρ ὀμνύοντα μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

(Amphis. 8, Meineke, v. IV, p. 319.)

Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

(A. Fr. 276.)

Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασιν δ' αὐτοῖσι πιστεύειν ἀεί.

(Alexid. Meineke, v. III, p. 458.)

Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖς,
ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ,
ἢ δεσμόν, ἢ βέβαια πολεμίων κακά,
ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων;

(E. Fr. incert. 3.)

Τρόπον καλοκἀγαθίας ὅρκου πιστότερον ἔχε.

(Solon.)

Justitia, *Iniustitia, Iniuria (cf. Peccatum).

Ἀδικούμενος διαλάσσου, ὑβριζόμενος ἀμύνου.

(Cleob. Stob. V, 26.)

Ἀδίκως δὲ μὴ κτῶ κτήματ', ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἔμμεναι.

(E. Fr. Erechth. XX.)

Ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.

(S. Philoct. 1246.)

Ἀλλ' ἔστιν, ἔνθα χἠ δίκη βλάβην φέρει.

(S. Electra, 1042.)

— Ἄμεινον δικαίως κρίνοντα πρὸς τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι, ἢ ἀδίκως κρίνοντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

(Moschion. IV.)

Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.

(Men. Monost. Meineke, v. IV, p. 341.)

Ἀνήρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται.
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν

εἶναι δίκαιος κού δοκεῖν εἶναι θέλει.

(Philem. incert. Meineke. v. IV. p. 37.)

Αὐτὸς ἀδικεῖσθαι μᾶλλον, ἢ ἀδικεῖν θέλε,
μέμψει γὰρ ἄλλους, οὐχὶ μεμφθήσῃ δὲ σύ.

(Gnom. Men. Meineke, v. IV, p. 337.)

Δίκαια δράσας συμμάχους ἕξεις θεούς.

(Men. Monost. Meineke, v. IV, p. 343.)

Δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσιν.

(Strabo, 4.)

Δίκαι' ἔλεξας· ἡ δίκη αἰσχρῶς ἔχει.

(E. Electra, 1044.)

Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

(Men. incert. Meineke, v. IV, p. 344.)

Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.

(Men. Monost. Meineke, v. IV, p. 344.)

Δίκαιος εἶναι μᾶλλον, ἢ χρηστὸς θέλε.

(Men. Monost. Meineke, v. IV, p. 343.)

. . . δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται, βλάψει δ' ὁ κακὸς τόν ἀρείονα φῶτα.

(Hes. Op. 190 sq.)

Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.

(E. Fr. Palam. V.)

Εἰ τοσοῦτον ἡδονῇ νικᾷ ὁ ἀγαθός τε καὶ δίκαιος τὸν κακόν τε καὶ ἄδικον, ἀμηχανῶ δή, ὅσῳ πλεῖον νικήσει εὐσχημοσύνῃ τε βίου καὶ κάλλει καὶ ἀρετῇ.

(Plato, Resp. IX, 273.)

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶς ἀρετή 'στι,
πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς, Κύρνε, δίκαιος ἐών.

(Theognis, 143 sq.)

Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν.

(Men. incert., Meineke, v. IV.)

Ἐσθλοῦ γὰρ ἀνδρὸς, τῇ δίκῃ θ' ὑπερτερεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

(E. Hecub. 844 sq.)

. . . Εὐώνυμον ἐς δίκαν
τρία ἔπεα διαρκέσει.

(Pind. Nemea, 7.)

Ἔχεις γνώμῃ δικαιοσύνην.

(Bias.)

Ἦ τ' ἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι,
εἰ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.

(E. Fr. incert. 3.)

Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

(S. Fr. Aload. 101.)

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστι δίκαιον,
ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρὸν,
ἀλλὰ δίκαιος ἐὼν, μὴ τὰ δίκαια πάθῃ.

(Theognis. 743 sqq.)

Κρίνειν δίκαιον, μὴ τὸ συμφέρον θέλε.

(Men. Monost. Meineke, v. IV, p. 359.)

Μόνον δὲ τοῦτό φασ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθὴν, ὅτῳ παρῇ.

(E. Hippol. 426 sq.)

Μοῦνοι θεοφιλέεις, ὅσοις ἐχθρὸν τὸ μὴ ἀδικέειν.

(Democrit.)

Νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.

(E. Suppl. 437.)

*. . . ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.

(E. Phoeniss. 471 sq.)

*—*Ὁ ἀδικέων τοῦ ἀδικεομένου κακοδαιμονέστερος.

(Democrit. Or. I.)

Ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;

(A. Fr. 298.)

Ὃς οὐδὲ τοὐπιεικὲς οὔτε τὴν χάριν
ᾔδει, μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην.

(Clem. Alex. Str. II, 494.)

Οὐ γὰρ δίκαιον, ἄνδρα γενναῖον φρένας
τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

(S. Fr. Phaedra, 606.)

Οὐδείς ποτ' ηὐτύχησεν ἔκδικος γεγὼς,
ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.

(E. Helen. 1030 sq.)

Οὗτος κράτιστός ἐστ' ἀνὴρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς.

(Men. Georg. Meineke, v. IV, p. 96.)

*Πῶς ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι; εἰ ὁμοίως ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι.

(Solon, Diog. Laërt. I, 59.)

Σὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.

(S. Aias, 1125.)

Σὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.

(S. Philoct. 1125.)

*Τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον.

(Plato, Cratyl.)

Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν
ἐρίζειν.

(Incerti auctoris.)

Τὸ γὰρ μηδὲν ἀδικεῖν ἰσχυρὰ δύναμις. (Ios. Flav.)

Τὸ δίκαιόν ἐστι τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν. (Aristid.)

Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. (S. Fr. 99.)

— Τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς
πάντων μέγιστος πολέμιος κατὰ χθόνα. (E. Fr. Syleus, V.)

Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν. (S. Oed. Col. 880.)

Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ. (Men. Meineke, v. IV, p. 207.)

. . . φεῦ,
οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει. (E. Fr. Tenn.)

Ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον
κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρέτης. (S. Fr. 88.)

Ὡς πάντα πράσσων σὺν δίκῃ δίκης ἄτερ. (E. Phoen. 492.)

Juventus, Adulescentia (cf. Senectus).

— Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται,
οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται. (Hom. Il. III, 108 sqq.)

Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει. (Comic.)

— Ἀλλ' ὀλιγοχρόνιον γίγνεται, ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.
(Mimnerm. 5, Schneidewin Delectus, p. 14.)

Ἁ νεότας μοι φίλον
ἄχθος δὲ τὸ γῆρας ἀεί.
βαρύτερον Αἴτνας σκοπέλων
ἐπὶ κρατὶ κεῖται,
βλεφάρων σκοτεινὸν
φάρος ἐπικαλύψαν.
μή μοι μήτ' Ἀσιήτιδος
τυραννίδος ὄλβος εἴη,
μὴ χρυσοῦ σώματα πλήρη

τᾶς ἥβας ἀντιλαβεῖν,
ἃ καλλίστα μὲν ἐν ὄλβῳ,
καλλίστα δ' ἐν πενίᾳ.
τὸ δὲ λυγρὸν φόνιόν τε γῆ-
ρας μισῶ· κατὰ κυμάτων δ'
ἔῤῥοι, μηδέ ποτ' ὤφελεν
θνατῶν δώματα καὶ πόλεις
ἐλθεῖν, ἀλλὰ κατ' αἰθέρ' ἀ-
εὶ πτεροῖσι φορείσθω.

(E. Hercul. Fur. 638 sqq.)

— Ἄνθεα τῆς ἥβης γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ.
αἰεὶ μὲν φρένας ἄμφι κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου.
ἀλλ' ἐχθρὸς μὲν παισὶν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

(Mimnerm. 1, Schneidewin Delectus, p. 13.)

— Γνώμη γὰρ, εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων.

(S. Antigone, 719 sqq.)

— . . . εἰ δ' ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον, ἢ τἄργα σκοπεῖν.

(S. Antigone, 728 sq.)

— Εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει.

(Hom. Il, IV, 321.)

— Ἔστι που νέου ξύνεσις καὶ γερόντων ἀξυνεσίη· χρόνος γὰρ οὐ διδάσκει φρονεῖν, ἀλλ' ὡραίη τροφὴ καὶ φύσις.

(Democrit. Stob. M. Flor. XVI, 66.)

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

(Theognis, 629 sq.)

— Ἥβη τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι, ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

(Theognis, 567 sqq.)

Ἥμαρτεν· ἐν νέοισι δ' ἀνθρώπων τόδε
ἔνεστιν.

(E. Suppl. 250.)

Ἡμεῖς ἐν θαλίῃσι φίλον καταθώμεθα θυμὸν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.

αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη.

(Theognis, 983 sqq.)

— Ἰσχὺς καὶ εὐμορφίη νεότητος, γῆρας δὲ σωφροσύνης ἄνθος.

(Democrit. Stob. CXV, 19.)

Καίτοι νέος ποτ' ἐγενόμην κἀγὼ, γύναι,
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας.

(Men. Meineke, v. IV, p. 178.)

Καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται, ἀνίκα πίπτει·
ἁ δὲ χιὼν λευκὰ, καὶ τάκεται, ἀνίκα παχθῇ·
καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ·
ἥξει καιρὸς ἐκεῖνος, ὁπανίκα καὶ τὸ φιλάσεις,
ἀνίκα τὰν κραδίαν ὀπτεύμενος ἁλμυρὰ κλαύσεις.

(Theocrit. XXIII [XXVI], 28 sqq.)

— Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ τῷ γήρᾳ σοφίαν.

(Bias, Stob. III.)

Μὴ καυχῶ· τάχα γάρ τε παρέρχεται ὡς ὄναρ ἥβα.

(Theocrit. XXVII [XXII], 8.)

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρός σ' ἐρῶ.

(Men. incert. Stob. LII, 9.)

. . . νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

(E. Medea, 47.)

Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί.

(E. Fr. Archel. VIII.)

Νεανίας τε καὶ πένης σοφός θ' ἅμα
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

(E. Fr. Archel. XX.)

Νέος δ' ἀπόλλυθ', ὅντινα φιλεῖ θεός.

(Hypsaeus, Stob. CXX, 13.)

Νέος πέφυκας, πολλὰ καὶ μαθεῖν σε δεῖ,
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.

(S. Fr. incert. 622.)

Νέος· πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας.

(E. Fr. Dictys, V.)

Νέος φιλοδοξῶν πρώϊμος πονηρία.

(Metrodor. Stob. LII, 7.)

Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

(Comic.)

. . . νέος ὢν νέα φρονεῖ.

(A. Pers. 728.)

Νεότης μ' ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον.

(E. Fr. Androm. XVI.)

Νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες.

(Agathon. Stob. LII. 6.)

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτῶν κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι· κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

(Theognis, 1007 sq.)

Οἱ νέοι μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων· τῷ γὰρ ἤδει ζῶσι μᾶλλον, ἢ τῷ λογισμῷ.

(Aristot. Rhetor.)

Οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.

(Hom. Il. XX, 589 sq.)

— Ὁρῶ γὰρ ἥβην τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος· τῶν δ' ὑπεκτρέπει πόδα.

(S. Trach. 547 sq.)

Ὅστις νέος ὢν Μουσῶν ἀμελεῖ,
τόν τε παρελθόντ' ἀπόλωλε χρόνον
καὶ τὸν μέλλοντα τέθνηκε.

(S. Fr. 304.)

. . . οὐκ ἔστιν, ὅπως
ἥβην κτήσει πάλιν αὖθις.

(E. Heraclid. 707 sq.)

Τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ, καί νιν οὐ θάλπος θεοῦ,
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον.

(S. Trach. 144 sqq.)

. . . τολμητέον·
μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

(E. Iphig. T. 120 sqq.)

Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων· ἀστόχαστος γὰρ ἡλικία καὶ πολλὰς ἔχουσα μεταβολάς, ἄλλοτε ἐπ' ἄλλο φερομένη.

(Theophrast. Stob. LII, 15.)

Labor, Aerumnae (cf. Pigritia, Ignavia; Diligentia, Virtus).

Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστ'
ἔχων μακάρτατος.

(S. Fr. 359.)

Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,

δρᾶσαι δὲ χειρὶ δυνατὸς, οὐκ ἀνέξεται,
τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.

(E. Fr. Theseus, X.)

Ἄν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει. ἄν τι ποιήσῃς αἰσχρὸν μεθ' ἡδονῆς, τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει.

(Musonius, A. Gell. 15.)

Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

(Meineke, Fr. incert. v. IV, p. 689.)

Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίγνεται.

(Ibidem.)

Ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες.

(Pind. Ol. X, 26.)

Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς ἀκουσίους ὑπομένειν.

(Isocr. Demon.)

— Δεῖ τοὺς γενομένους, μέχρις ἂν ζῶσιν, πονεῖν.
ἀνανδρία γὰρ λιτὸν οὐ τρέφει βίον.

(Men. incert. Meineke, v. IV, p. 358.)

. . . εἰ δ' ἄτερ πόνων
δοκεῖς ἔσεσθαι, μωρὸς εἶ, θνητὸς γεγώς.

(E. Fr. Stob. XCVIII, 21.)

Εἰ δέ τις ὄλβος ἐν ἀν-
θρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται.

(Pind. Pyth. XII, 48.)

. . . εἴ τις ἀργὸς ὢν θεοῖς
εὔχοιτο, καὶ μὴ χειρὶ συλλέγοι βίον,
τὰ θεῖα πυργοῦσ', αἱ κακαί τε συμφοραί.

(E. Fr. Belleroph. XXI.)

Ἐκ θαμινῆς ῥαθάμιγγος, ὅκως λόγος, αἰὲν ἰοίσας
χ' ἁ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

(Bion, Stob. XXIX, 52.)

Ἐκ τοῦ φιλοπονεῖν γίγνεθ', ὧν θέλεις κρατεῖν.

(Philem. incert. Meineke, v. IV, p. 62.)

Ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ γίγνεται.

(Ber. Gr. 6.)

Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς·
ὁ δ' ἡδὺς αἰὼν, ἡ κακή τ' ἀτολμία
οὔτ' οἶκον, οὔτε βίοτον οὐδὲν ὠφελεῖ.

(Men. Monost. Meineke, v. IV, p. 344.)

. . . ἐμὲ δ' ἄρ' οὐ
μοχθεῖν δίκαιον; τίς δ' ἄμοχθος εὐκλεής;
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;

(E. Fr. Archel. IX.)

Ἐν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

(Men. Monost. Meineke, v. IV, p. 345.)

Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε,
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
ἔσσεται ἠδὲ βροτοῖς, μάλα γὰρ στυγέουσιν ἀέργους.

(Hes. Op. 306 sq.)

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι »ΖΗΘΙ« λέγουσι βροτοῖς.

(Antholog. X, 43.)

. . . ἐπειδὴ
τὸν ὑπὲρ κεφαλᾶς
γε Ταντάλου λίθον παρά τις ἔ-
τρεψεν ἄμμι θεός.

(Pind. Isthm. VIII, 19 sq.)

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.

(Hes. Op. 309.)

. . . ἔργον δέ τ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

(Hes. Op. 380.)

Ἔφυ μὲν οὐδείς, ὅστις οὐ πονεῖ βροτῶν.

(E. Fr. Hypsip. VI.)

Ἦν τάχα μοχθήσαντί ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.

(Bion, 7.)

Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.

(Agathon, Stob. XXIX, 39.)

Καὐτόν τι πράττειν, οὐ μόνον τὰς ἐλπίδας
ἐπὶ τῇ τύχῃ χρή, παιδίον, πάντως ἔχειν,
ὧν βούλεταί τις· ἀλλὰ καὶ τῷ τῇ τύχῃ
συλλαμβάνεσθαι ῥᾷον ἡ τύχη ποιεῖ,
ἐὰν μεθ' ἑτέρου τοῦτο, μὴ μόνη ποιῇ.

(Philem. Meineke, v. IV, p. 16.)

Κοιλαίνει πέτραν ῥανὶς ὕδατος ἐνδελεχείῃ.

(Galen.)

Μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων.

(Hes. Op. 442 sq.)

Μελέτη τὸ πᾶν.

(Cleobul.)

Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

(F. Gr. Teleph. XXVII.)

Μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

(E. Hippol. 207.)

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

(S. Fr. 343.)

Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν·

(Democrit. Stob. XXIX, 63.)

Ὁ πάντα βουληθεὶς ἂν ἄνθρωπος πονεῖν,
πάντ' ἂν γένοιτο πλούσιος τρόπον τινά.

(Men. incert. Meineke, v. IV, p. 234.)

Ὁπότε σχολάζω, πλείονα πράττω.

(Scipio ap. Plutarch.)

Ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίγνεται,
οὐδενὶ πρόσεστιν, οὐδὲ κοινωνεῖ τύχῃ.

(Phil. incert. Meineke, v. IV, p. 54.)

Ὅς οἱ πολλὰ κάμῃσι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ.

(Hom. Od. XIV, 65.)

Ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν,
μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.

(E. Fr. Antiope, XXXV.)

. . . οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅπτεταί ποτε.

(S. Fr. 235.)

Ὅτι πάντα τὰ ζητούμεν' ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς, μηδὲ τὸν πόνον φύγῃς.

(Alexid. Meineke, v. III, p. 397.)

. . . οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται.

(Hom. Od. XXIII. 249 sq.)

Οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

(E. Fr. Archel. VIII.)

. . . οὐδενὸς χρὴ πράγματος
τὸν εὖ πονοῦνθ' ὅλως ἀπογνῶναί ποτε,
ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ
ἅπαντα.

(Men. Meineke, v. IV, p. 109.)

Οὐ κάμνει τὰ πράγματα πρασσόμενα.

(Apollon. Stob. XXIX, 83.)

Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι, πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.

(Phocyl. Admon. 15.)

Οὐκ ἀεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.

(Hes. Op. 503.)

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς,
ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

(E. Fr. Androm. XVIII.)

οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρὸν δὲ μοχθεῖν μὴ θέλειν νεανίαν.

(E. Fr. Cressae, VI.)

Οὐκ ἔστιν, ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.

(E. Fr. Archel. X.)

Οὐχ' ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

(Philiscus. Meineke, v. III, p. 580.)

Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

(S. Fr. 302.)

Οὔκουν πονεῖν με χρή, πονοῦντα δ' ἄξιον
μισθὸν φέρεσθαι; παντὶ γὰρ προσκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.

(E. Rhesus, 161 sqq.)

Οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ᾖσιν,
ἤ ὅ,τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑῇσιν.

(Hom. Od. VIII, 147 sq.)

. . . οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἄν, οὔτ' οἶκος μέγας.

(E. Fr. Ixion, II.)

Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.

(S. Fr. 463.)

Ὁ φεύγων μύλον ἄλφιτα φεύγει.

(Prov.)

. . . πάντα τὰ ζητούμενα
δεῖσθαι μερίμνης, φασὶν οἱ σοφώτεροι.

(Men. Meineke, v. IV, p. 124.)

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.

(Bacchylid. Stob. XCVIII, 25.)

Πάντ' ἔστιν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

(Philem. Meineke, v. IV, p. 13.)

. . . πολλὰ δεῖ
μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς,
ῥᾳθυμία δὲ, τὴν παραυτίχ' ἡδονὴν
λαβοῦσα, λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.

(Theodect. Stob. XXIX, 35.)

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ·
μικροῦ τ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.

(S. Fr. 675.)

Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.

(E. Fr. Licumn. XI.)

Πόνος πόνῳ πόνον φέρει.

(S. Aias, 866.)

Πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείᾳ γίγνεται.

(Democrit. Stob. XXIX, 63.)

Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.

(S. Fr. 672.)

Πονοῦντα δ' ἔα τὸν ἴδιον ὑψῶσαι βίον.

(Men. incert. Meineke, v. IV.)

Πόνων δ' οὔτις ἀπόκλαρός ἐστιν,
οὔτ' ἔσσεται.

(Pind. Pyth. V, 71 sq.)

Σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.

(E. Orest. 694 sq.)

Σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν.

(E. Fr. Archel. XI.)

Σὺν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.

(E. Fr. Archel. XII.)

Τὰ μὲν καλὰ χρήματα τοῖς πόνοισιν ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦνται.

(Democrit.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι.

(Hes. Op. 287.)

Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται.

(Antiphan. Meineke, v. III, p. 149.)

Τίς γὰρ προθύμως μὴ πονήσας εὐτυχεῖ;

(Men. Cl. 94.)

. . . τὸ δὲ ζητούμενον
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.

(S. Oed. R. 110 sq.)

Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα,
τὸ δ' ἔργον ὡς πάρεργον ἐκποιούμεθα.

(Agathon.)

Τὸ συνεχὲς ἔργον παντὸς εὑρίσκει τέλος.

(Anaxandrid. Meineke, v. III, p. 199.)

. . . τοὺς πόνους γὰρ ἀγαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.

(E. Iphig. T. 114 sq.)

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

(Epicharm. Stob. XXIX, 8.)

. . . τῷ πονοῦντι δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

(A. Fr. 292.)

Φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι
θανεῖν ἐρῶσιν.

(Agath. ap. Aristot.)

Φεύγων πόνους φεύγει καὶ τιμάς.

(Thucydid. II.)

Φεῦ, φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

(S. Antigone, 1276.)

Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

(A. Fr. 277; E. Fr. incert. 146.)

Φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων.

(Demosth. Phil. I.)

Ὦ πόνοι, τρέφοντες βροτούς.

(E. Hippol. 366.)

Ὡς ἡδέως μοι γέγονε τὰ πρότερον κακά·
εἰ μή ποτ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

(Philem. Meineke, v. IV, p. 55.)

Vide: *Audacia:* Θράσει. — *Deus:* Ἀλλ', Αὐτός. — *Sors:* Ἄνευ. — *Studium:* Ἐκ μελέτης. — *Tempus:* Οὗτοι. — *Vita:* Σμικρόν.

Lacrima (cf. Sympathia, Luctus).

Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες.

(Prov.)

Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ
(καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι),
ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν.

(S. Fr. 501.)

Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ
θνητοῖς, ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί,
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν,
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.

(E. Fr. Oenom. V.)

Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
στάζειν.

(E. Fr. Ino, XVI.)

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα δόντες χρυσίον·
νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει
εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἐάν τε κλαίῃς, ἄν τε μὴ, πορεύεται.
τί οὖν ποιεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει,
ὥσπερ τὸ δένδρον, τοῦτο καρπὸν, τὸ δάκρυον.

(Philem. Meineke, v. IV, p. 23.)

Ἔστιν παρὰ δάκρυσι κείμενον
ἡδὺ βροτοῖς, ὅταν
ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκτῳ.

(E. Fr. Archel. XXVII.)

Μείζω κακὰ, ἢ ὥστε ἀνακλαίειν.

(Prov.)

Οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων

κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.

(E. Hecub. 296 sqq.)

Χῶρος γάρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·
δακρυῤῥοεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.

(S. Fr. 757.)

Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπραγόσιν,
θρήνων τ' ὀδυρμοὶ, μοῦσά θ', ἣ λύπας ἔχει.

(E. Troad. 604 sq.)

Laetitia, Gaudium (cf. Voluptas).

. . . τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα
καί ζῆ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

(S. Antigone, 1165 sqq.)

Laus, Laudatio.

Αἰνούμενοι γὰρ ἀγαθοὶ τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.

(E. Iphig. A. 979 sq.)

Ἀφόρητος γίνεται κακία ἐπαινουμένη.

(Democrit.)

Βέλτερον ὑφ' ἑτέρου, ἢ ὑφ' ἑαυτοῦ ἐπαινέεσθαι.

(Democrit. Or. I.)

Ἥδιστον ἀκρόαμα ἔπαινος.

(Socrat. ap. Xenoph.)

Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοὶ, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

(Socrat.)

Καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.

(E. Iphig. A. 305.)

. . . μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει.

(Hom. Il. X. 249.)

Οὐδὲ θερμὸν ὕδωρ τόσσον
γε μαλθακὰ τεύχει
γυῖα, ὅσσον εὐλογία φόρ-
μιγγι συνάορος.

(Pind. Nemea. IV.)

Οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς καθ' αὑτοῦ ἔπαινος.

(Themist.)

Οὐκ ἔστ' ἄκουσμα ἥδιον, ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.

(Men. Meineke, v. IV, p. 262.)

Οὔτ' αἰνέσαιμ' ἂν, οὔτε μεμψαίμην ποτέ.

(S. Antigone, 1156.)

Οὗτος μέντοι ἔπαινός ἐστι καλὸς, ἣν ἐπαινῇ ὑπ' ἀνδρῶν ἀξίων πιστεύεσθαι.

(Plato.)

. . . παύσομαί σ' αἰνῶν, ἐπεὶ
βάρος τι καὶ τόδ' ἐστὶν, αἰνεῖσθαι λίαν.

(E. Orest. 1161.)

— Σὺ δ' αἰνεῖν, εἴτε με ψέγειν θέλεις,
ὅμοιον.

(A. Agam. 1403.)

Τὸν λιβανωτὸν τοῖς θεοῖς, τὸν δ' ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

(Prov.)

— Τοὺς ἐπαινοῦντας ἥδιον προσδέχονται πάντες τῶν ἐπιτιμώντων.

(Demosthen. Philippica.)

Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.

(Men. Monost. Meineke, v. IV, p. 354.)

Φεῦ, πῶς ἂν ἐπαινέσαιμι μὴ λίαν λόγοις,
μήτ' ἐνδεὴς τοῦδ' ἀπολέσαιμι τὴν χάριν.

(E. Iphig. A. 977 sq.)

— Ὧν ἂν τῶν ἐπαίνων καταφρονῇς, καὶ τῶν ψόγων καταφρόνει.

(Pythagor. Stob. LXVI, 42.)

Lenitas.

Ἐὰν ἔχῃ τι μαλακὸν, ἀγγαρεύεται.

(Men. Meineke, v. IV, p. 201.)

Τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς συμφοράς.

(E. Fr. Auge, VII.)

. . . τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.

(A. Agam. 951 sq.)

Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω,
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

(Theognis, 365 sq.)

Leo.

Ἐξ ὀνύχων λέοντα.

(Prov.)

Νεκροῦ σῶμα λέοντος ἐφυβρίζουσι λαγωοί.

(Prov.)

— Ὁ νεβρὸς τὸν λέοντα (νικᾷ).

(Lucian.)

— Ὄντες οἴκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες.

(Ar. Pax, 1190.)

Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν,
ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

(A. Fr. ap. Ar. Ran. 1432.)

Lex (cf. Mos).

Ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ᾗ ἂν ταχθῇ ἐν πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ᾗ τέταχθε ὑπὸ τῶν νόμων.

(Dem.)

Ἐμοῦ γάρ ἐστι κύριος μὲν εἷς ἀνήρ·
τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος,
ἑτέρων τύραννος, τῶν τυραννούντων φόβος.

(Phil. Meineke, v. IV, p. 11.)

. . . καλὸν
οἱ νόμοι σφόδρ' εἰσὶν, ὁ δ' ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης μοι φαίνεται.

(Men. Meineke, v. IV, p. 257.)

Μὴ πάσχε πρῶτον, τὸν νόμον καὶ μάνθανε,
πρὸ τοῦ παθεῖν σε, τῷ φόβῳ προλαμβάνου.

(Men. Meineke, v. IV, p. 268.)

Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν.

(Men. Monost. Meineke, v. IV, p. 350.)

Νόμον φοβηθεὶς μὴ ταραχθήσῃ νόμῳ.

(Men. incert. Meineke, v. IV, p. 288.)

Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος,
καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.

(E. Hecub. 291 sq.)

Νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων.

(Pind. Clem. Alex. I, 438.)

Νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος·
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

(Men. Meineke, v. IV, p. 337.)

Νόμους πῶς ἂν ἡγήσαιο σπουδαῖον πρᾶγμα, οὓς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται;

(Xenophon.)

Οἱ νόμοι ὅμοιοί εἰσιν τοῖς ἀραχνίοις· ἐὰν μὲν γὰρ ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται, ἐὰν δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀφίπταται.

(Zaleucus.)

Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

(Antiphan. incert. Meineke, v. III, p. 148.)

Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται· οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους, ἀλλ' οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται.

(Theophrast. Stob. XXVII, 21.)

Οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν, ἐξ ὅτου 'φάνη.

(S. Antigone, 457 sqq.)

. . . οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾶν.

(E. Bacch. 890 sqq.)

Οὐκ ἔστιν οὐδεὶς δειλὸς ὁ δεδοικὼς νόμον.

(Philonid. Stob. IX, 14.)

— Πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀνομίαν ὀφλισκάνειν.

(E. Ion. 442 sq.)

Τὸν νόμον ἀνάγκῃ τὸν προκείμενον σέβειν.

(E. Iphig. T. 1189.)

Φοβητέον οὐκ ἀνδρὸς ἀπειλὴν, ἀλλὰ νόμου φωνήν.

(Hyperid. Stob. LXXIV, 35.)

Liber. (cf. Scriptura).

Ἀντέστρεφέν σου τὸν βίον τὰ βιβλία.

(Comic.)

Μέγα βιβλίον ἴσον μεγάλῳ κακῷ.

(Callimach. Athen. III, 72.)

Μὴ τῷ κιβωτίῳ, ἀλλὰ τῷ στήθει.

(Oenopid. Stob. M. Flor. XVI. 142.)

Ὄργανον τῆς παιδείας οὐ κτῆσις, ἀλλὰ χρῆσις τῶν βιβλίων ἐστίν.

(Isocr. Demon.)

Τὰ βιβλία τῶν μεμαθηκότων μὲν ὑπομνήματα, τῶν δὲ ἀμαθῶν μνήματα.

(Isocr. Demon.)

Τοὺς μὲν νεὼς τοῖς θεοῖς προσήκει καθιεροῦν, τοὺς δὲ ἄνδρας τοὺς ἐλλογισμοὺς τῇ τῶν βιβλίων ἀναθέσει τιμᾶν.

(Aristides.)

Liberi (cf. Filius, Puer, Infans, Pater, Matrimonium).

Ἀλλ' εἰσὶν μητρὶ παῖδες ἀγκύραι βίου.

(S. Fr. 612.)

Ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,
εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ, οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους,
ὅσοισι δ' εἰσὶν, οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα·
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.

(E. Fr. Oenom. XI.)

Ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ' ὅμως
δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.

(E. Iphig. A. 687 sqq.)

Γεννῶντάς τε καὶ ἐπιτρέφοντας παῖδας καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

(Plato, Leg. 6.)

Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' εὐηνέμου ἰδεῖν,
γῆ τ' ἠρινὸν θάλλουσα, πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινόν ἐστι μοι λέξαι καλῶν,
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν, οὐδ' ἰδεῖν καλὸν,
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.

(E. Fr. Danaë, III.)

Δεινόν τι τέκνων φίλτρον ἔθηκεν
θεὸς ἀνθρώποις.

(E. Fr. Alcmen. VII.)

Ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ
παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν,
πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.

(E. Fr. incert. 99.)

Ζηλωτὸς, ὅστις εὐτύχησεν ἐν τέκνοις
καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο.

(Diog. Stob. LXXV.)

Ζηλωτὸς, ὅστις ηὐτύχησεν ἐς τέκνα
καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο.

(E. Orest. 542 sq.)

Ἴστω δ' ἄφρων ὤν, ὅστις ἄτεκνος ὢν τὸ πρὶν,
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων.
ᾧ γὰρ θεὸς δίδωσι μὴ φῦναι τέκνα,
οὐ χρὴ 'γκαλεῖσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.

(E. Fr. Meleagr. II.)

Μακάριος, ὅστις αὐτὸς ἰσχύων ἔτι
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει.

(Diog. Stob. LXXV, 1.)

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.

(E. Fr. Oedip. VII.)

— Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτοὺς ἀγαπήσουσιν, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἑαυτούς.

(Incerti auctoris.)

— Ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

(S. Fr. incert. 674.)

Ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὐτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων ;

(S. Antigone, 645 sqq.)

— Ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρῶς,
τὸ γῆρας οὗτος τερματίζεται βαρύ.

(E. Fr. incert. 221.)

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρὸς,
πλὴν ἕτερος ἂν ᾖ πλειόνων παίδων πατήρ.

(Men. Meineke, v. IV, p. 261.)

Παισί τε αἰδῶ χρὴ πολλὴν, οὐ χρυσὸν καταλείπειν.

(Plato, De Leg.)

. . . πάντα τἀνθρώπων ἴσα.
φιλοῦσι παῖδας οἵ τ' ἀμείνονες βροτῶν,
οἵ τ' οὐδὲν ὄντες· χρήμασιν δὲ διάφοροι.

(E. Hercul. Fur. 636 sq.)

Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος.

(E. Phoen. 965.)

— Παῦροι γάρ τοι παῖδες ὅμοιοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.

(Hom. Od. II, 376 sq.)

Πρέπει τοὺς παῖδας, ὥσπερ τὰς οὐσίας, οὕτω καὶ τῆς φιλίας πατρικῆς κληρονομεῖν.

(Isocrat.)

Τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν ἄθυρσι, καὶ φιλημάτων ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.

(E. Fr. Danaë, I)

Τέκνα μάθε τίκτειν· οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, τὰ δὲ τὴν ψυχὴν θρέψοντα τῇ ἀϊδίῳ τροφῇ.

(Pythagoras.)

Τί γὰρ ἂν μεῖζον τοῦδ' ἔτι θνατοῖς
πάθος ἐξεύροις,
ἢ τέκνα θανόντ' εἰσιδέσθαι;

(E. Suppl. 1120 sqq.)

— Τὸ γυναῖκ' ἔχειν εἶναί τε παιδίων, Παρμένων,
πατέρα, μερίμνας τῷ βίῳ πολλὰς φέρει.

(Men. Meineke, v. IV, p. 260.)

. . . τοῖς τεκοῦσι γὰρ
δύστηνος, ὅστις μὴ 'ντιδουλεύει τέκνων·
κάλλιστον ἔρανον δοὺς γὰρ ἀντιλάζυται,
παίδων παρ' αὐτοῦ τοιάδ', ἂν τοκεῦσι δῷ.

(E. Suppl. 361 sqq.)

Χρὴ δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

(E. Medea, 295 sq.)

Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.

(E. Fr. Protesil. X.)

Ὦ παῖ, μέγιστον ἔρανόν ἐστί μοι τὸ σὲ
θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον
παρὰ τοῦ πατρὸς, δεῖ τοῦτον ἀποδοῦναί μέ σοι.

(Alexis, Meineke, v. III, p. 512.)

Vide: *Malum:* Φιλεῖ. — *Modestia:* Οὐδένα.

Libertas (cf. Servitudo).

Ἄμεινον ἑαυτῷ φυλάττειν τὴν ἐλευθερίαν, ἢ αὐτὴν ἑτέρων ἀφαιρεῖσθαι.

(Agesilaus.)

— Δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

(S. Trach. 63.)

Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον.

(Pythagor. Stob. XVIII, 23.)

Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.

(Stob. I, 10.)

Ἐλεύθερος γὰρ οὔτις ἐστὶ, πλὴν Διός.

(A. Prom. Vinct. 50.)

Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν.

(Pythagoras.)

Οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος·
ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.

(E. Hecub. 864.)

Φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως.

(E. Alcest. 1008.)

Χαῖρε, Νεοκλείδα, δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

(Men. Meineke, v. IV, p. 335.)

Licentia, Licet (cf. Decus).

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν.

(Pythag. Epict. Fr. 100.)

Μὴ ψαῦε, ὧν σε μὴ ψαύειν χρεών.

(E. Electra, 223.)

Οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθόν ἐσθ' ὁ πλοῦς.

(Prov.)

Οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζάν ἐσθ' ὁ πλοῦς.

(Nicol. Stob. XIV, 7.)

Lingua (cf. Os, Locutio, Garrulitas, Vituperatio, Silentium).

Αἰσχρόν γ' ὅταν τις ἐπὶ γλώσσῃ φυεὶς,
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

(Men. Meineke, v. IV, p. 257.)

Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.

(E. Orest. 10.)

Ἀλλ' ἐστὶ κἀμοὶ κλῄς ἐπὶ γλώσσῃ φύλαξ.

(A. Fr. 295.)

Ἀνθρώποις οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.

(E. Hecub. 1187 sq.)

Ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω,
κρείσσων γὰρ μύθων, ἢ κτεάνων φυλακή.

(Lucian. Anthol. X. 41.)

Βοῦς μοι ἐπὶ γλώσσῃ κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.

(Theognis, 815 sq.)

Γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.

(S. Philoct. 97 sqq.)

Γλῶσσα τοξεύσασα μὴ τὰ καίρια.

(A. Suppl. 446.)

Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν
τολμᾷ πανουργεῖν, ἔστι δ' οὐκ ἄγαν σοφός.

(E. Medea, 582 sq.)

Γλώσσῃ γὰρ οὐδὲν πιστὸν, ἢ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.

(E. Hippol. 395 sqq.)

Γλώσσης, γαστρὸς, αἰδοίων κρατεῖν.

(Periander.)

Γλώσσης κρατεῖν μάλιστα ἐν συμποσίῳ.

(Chilon.)

. . . γλῶττάν τέ σοι
δίδωσιν ἐν δήμῳ φορεῖν
καλῶν λόγων ἀείνων,
ᾗ πάντα κινήσεις λέγων.

(Meineke, Fr. incert. v. IV, p. 608.)

Ἔβλαψε γλῶσσα, μεγάλα τ' εἴργασται κακά.

(Eurip. inc. loc.)

Ἐν ὑγρῷ ἐστιν ἡ γλῶσσα.

(Prov.)

Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.

(Men. Monost. Meineke, v. IV, p. 346.)

Ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ.

(Chilon.)

Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.

(S. Aias. 1124.)

Ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.

(E. Suppl. 423 sqq.)

Ἢ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;

(A. Prom. Vinct. 328 sqq.)

Κρεῖττόν ἐστι τοῖς ποσὶν ὀλισθεῖν, ἢ τῇ γλώσσῃ.

(Zeno.)

Οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.

(S. Aias, 584.)

Πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυχον φέρει
κακήν· τὸ δ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.

(A. Suppl. 994 sq.)

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
  ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
  ἐσθλὸν δ' ἐξελθὸν λώϊον ἢ τὸ κακόν.

(Theognis, 421 sq.)

Πολλοῖς γὰρ ἡ γλῶσσα προτρέχει τῆς διανοίας.

(Isocr. Dem. 13.)

Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι· ἐπέων δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα.

(Hom. Il. XX, 248 sq.)

Τρυγῶσι ταῖς γλώτταισι συκάζουσί τε.

(Ar. Aves, 1705.)

Τῶν τοι ματαίων ἀνδράσι φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.

(A. Sept. Contr. Theb. 438 sq.)

Φιλολοιδόροιο γλώττης βέλεμνα κοῦφα.

(Anacr. 42, 11.)

Lis, Jurgium, Rixa (cf. Contentio).

Ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον ὥστε γυναῖκας,
αἵτε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἀγυιὰν ἰοῦσαι.

(Hom. Il. XX, 251 sqq.)

Δίκα δίκαν ἐξεκάλεσε καὶ φόνος
φόνον.

(E. Suppl. 614 sq.)

Δίκη δίκην ἔτικτε καὶ βλάβην βλάβη.

(E. Fr. Androm.)

Εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.

(Phocyl. Admon. 7.)

Ἔρις δ' ἔριν ἀντιφύεται.

(Prov.)

Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.

(S. Aias, 731 sq.)

. . . φιλοφροσύνη γὰρ ἀμείνων
ληγέμεναί τ' ἔριδος κακομηχάνου.

(Hom. Il. IX, 256 sq.)

Ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι·
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός.

(Hom. Il. XVIII, 107 sqq.)

Literae (cf. Doctrina, Disciplina).

Βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούς.

(E. Hippol. 954.)

Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.

(Philonid. Meineke, v. II, p. 425.)

Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.

(Men. Meineke, v. IV, p. 359.)

Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
μορφάς δὲ λέξω καὶ σαφῆ τεκμήρια.

(E. Fr. Theseus, VII.)

Ἐπαρίστερ' ἔμαθες, ὦ πονηρὲ, γράμματα.

(Theognet. Comic.)

Θησαυρός ἐστι τοῦ βίου τὰ γράμματα.

(Men. Monost.)

Μήτε νεῖν, μήτε γράμματα.

(Prov.)

Ὁ γράμματ' εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.

(Men. Monost.)

Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.

(Men. Monost. Meineke, v. IV, p. 352.)

Locus.

Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

(Amphis, Meineke, v. III, p. 302.)

Οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσιν.

(Agesilaus.)

Locutio, (cf. Verbum, Sermo, Silentium, Eloquentia), *Loquacitas (cf. Garrulitas).

Ἀληθόμυθον χρὴ εἶναι, οὐ πολύλογον.

(Democrit. Or. I, 10.)

. . . ἀλλὰ ταῦτα μὲν λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.

(E. Fr. Oenom. III.)

Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλόν.

(S. Oed. R. 1409.)

Ἀλλ᾽ οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ᾽ ἔπη.

(S. Oed. Col. 624.)

Ἀνὴρ γάρ, ὅστις ἥδεται λέγων ἀεί,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

(S. Fr. 90.)

. . . ἅπαν καλὸν
λέγειν νομίζειν, ῥητὸν ἄῤῥητόν τ᾽ ἔπος.

(S. Oed. Col. 1000 sq.)

Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

(Prov.)

Ἄρχεται λέξεων μὲν ποταμὸς, νοῦ δὲ σταλαγμός.

(Theocrit. de Anaximene.)

. . . ἄχθομαι,
ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται,
τὰ δ᾽ ἔργα χείρω τῶν λόγων παρέσχετο.

(E. Fr. Phoenix, IV.)

Γλώσσῃ σὺ δεινός· ἄνδρα δ᾽ οὐδέν᾽ οἶδ᾽ ἐγὼ
δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.

(S. Oed. Col. 806 sq.)

Δύο ποιοῦ καιροὺς τοῦ λέγειν· ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον λέγειν.

(Isocrat. Dem. 13.)

Ἐγὼ δ᾽ ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
ἐς δ᾽ ἥλικας δὲ κὠλίγους σοφώτερος.
ἔχει δὲ μοῖραν καὶ τόδ᾽· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ᾽ ὄχλῳ μουσικώτεροι λέγειν.

(E. Hippol. 986 sqq.)

Εἰπεῖν μὲν γὰρ πάντα πέφυκε ῥᾴδιον, πρᾶξαι δ᾽ οὐχ ἅπαντα.

(Demosth.)

Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ᾽ ἂν ἡμῶν σωφρονέστεραι πολύ.

(Nicostrat. incert. Meineke, v. III, p. 288.)

Ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς.

(Aristot. Polit. II.)

Ἐκ τοῦ λέγειν τὸ λέγειν πορίζεται.

(Euagrus.)

Ἐμοὶ γάρ, ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.

(E. Medea, 583 sq.)

Καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.

(E. Orest. 252.)

Λάλει, ἃ δεῖ, καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσεις, ἃ μὴ δεῖ.

(Pythagor. Stob. M. Flor. XXI.)

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

(Eupolis, Meineke, v. II, p. 461.)

Λέγε κακῶς, ἐπεὶ καλῶς οὐ μεμάθηκας.

(Plato, Stob. XIX, 5.)

Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά.

(Pythagor. Stob. XXXV. 8.)

Μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ.

(A. Suppl. 199.)

Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς· μετάνοια γὰρ ἀκολουθεῖ.

(Bias, Stob. III, 75.)

— Νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην.

(S. Philoct. 98 sq.)

. . . ὁ γὰρ σιγῶσι χολωθεὶς
νοῦσον ἐπ' ἄνερας ὦρσε λάλην, ὀλέκοντο δὲ πολλοί.

(Phliasius Timon. Cl. Alex. Str. V, 651.)

Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι, εἰ ἠνιῶντο, ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

(Apollon.)

Ὁ μὴ φρονῶν μὲν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν,
δείκνυσιν αὑτοῦ τὸν τρόπον τοῖς ῥήμασιν.

(Men. incert. Meineke, v. IV, p. 324.)

Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ', ἐφ' οἷς λέγει,
αἴσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτε.

(E. Fr. Palam. VI.)

Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἐφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·
σὺ δ' εὔτροχον μὲν γλῶσσαν, ὡς φρονῶν, ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.

(E. Bacch. 266 sqq.)

— Οὐ γὰρ ἴσος πόνος καὶ ἱδρὼς πρό τε τοῦ λέγειν καὶ πρὸ τοῦ πράττειν ἐστίν.

(Demosthenes.)

Οὐδὲν γὰρ οὕτως ἡδὺ ἀνθρώποις ἔφυ,
ὡς τὸ λαλεῖν τἀλλότρια.

(Men. Gregor Nazianz.)

Οὐκ ἄν τις εἴπῃ πολλὰ, θαυμασθήσεται,
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα.

(Philo.)

— Οὐκ ἔργον ἔστιν εὖ λέγειν, ἀλλ' εὖ ποιεῖν.
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.

(Posidipp. Meineke, v. IV, p. 516.)

Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

(Antiphan. Meineke, v. III, p. 46.)

Πᾶν, ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ.

(Isocr. Demon. 12.)

Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος,
οὐδ' ἀφαμαρτοεπής.

(Hom. Il. III, 214 sq.)

Τί δ' ὄφελος λαλοῦντος, ἂν κακῶς φρονῇ;

(Men. Monost. Meineke, v. IV, p. 324.)

Τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
δεῖ σ'.

(E. Hippol. 490 sq.)

Τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ', ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.

(E. Iphig. A. 1115 sq.)

Τυραννικόν τι πόλλ' ἐπίστασθαι λέγειν.

(E. Fr. Dictys, XVII.)

Τῷ οὔτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.

(Hom. Il. XVI, 631.)

. . . φάσκων δ' οὐδὲν, ὧν λέγει, ποιεῖ.

(E. Electra, 319.)

Χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστίν.

(Demosthenes.)

Vide: *Modus:* Κερδέων. — *Opportunitas:* Χωρὶς.

Lucrum (cf. Divitiae, Parsimonia, Pecunia; Avaritia, Cupiditas).

Ἀλλὰ κέρδει καὶ σοφία δέδεται.

(Pind. Pyth. III.)

Ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

(Ar. Plut. 363.)

Ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.

(E. Phoen. 395.)

. . . ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

(S. Antigone, 222 sq.)

Ἅπαν τὸ κέρδος ἄδικον ὂν φέρει βλάβην.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἆρ' ἔστιν ἀνοητότατον αἰσχροκερδία,
πρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς, τἄλλ' οὐχ ὁρᾷ.

(Diphil. incert. Meineke, v. IV, p. 421.)

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.

(Men. Monost. Meineke, v. IV, p. 341.)

Βίον πορίζου πανταχόθεν, πλὴν ἐκ κακῶν.

(Men. Monost. Meineke, v. IV, p. 342.)

Δεινὰ μὲν, κέρδη δέ.

(S. Electra, 767.)

Δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.

(S. Electra, 61.)

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.
φιλαργυρία τοῦτ' ἐστιν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια, τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς.
(Diphil. incert. Meineke, v. IV, p. 421.)

Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης.
(Democrit.)

Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
γίνεται· εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ,
ῥεῖά τέ μιν μαυροῦσι θεοί.
(Hes. Op. 320 sqq.)

Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν· τὸ γὰρ ἅπαξ σε λυπήσεται, τὸ δὲ διὰ παντός.
(Chilon.)

Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
(Men. Monost. Meineke, v. IV, p. 346.)

. . καὶ γὰρ οἳ μακρὸν βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται· κἀστὶ πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ'.
(S. Fr. 325.)

Καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
(A. Sept. Contr. Theb. 427.)

Κακὰ κέρδεα ζημίην ἀρετῆς φέρει.
(Democrit.)

Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.
(E. Fr. Hypsip. VI.)

Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,
ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν.
(E. Fr. Cresphont. VIII.)

Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον.
(Periander.)

Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
(Men. Monost. Meineke, v. IV, p. 348.)

Κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.
(E. Fr. Oeneus, VII.)

Λέγεις, ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.
(Men. incert. Meineke, v. IV, p. 294.)

Μηδὲν ἄλλο σκοπῶν, πλὴν ὅπως πλέον ἔχει.
(Prov.)

Μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα ἶσ' ἄτησιν.
(Hes. Op. 350.)

Μὴ πανταχόθεν κέρδαιν', ἐπαισχύνου δέ μοι·
τὸ μὴ δικαίως εὐτυχεῖν ἔχει φόβον.
(Men. incert. Meineke, v. IV, p. 255.)

. . . ὅστις ἐν τοῖς κέρδεσι
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.

(S. Oed. R. 389 sq.)

. . . ὅστις ὑπέχει χρυσίῳ
τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται.

(Men. Meineke, v. IV, p. 159.)

Ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζέ σ' ἀῤῥαβῶν' ἔχειν.

(Men. Meineke, v. IV, p. 268.)

Ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον.

(E. Heraclid. 2 sqq.)

. . . οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργμασιν, ὡς πάρος, ἐσθλοῖς
αἰνεῖσθαι σπεύδοντι· νενίκανται δ' ὑπὸ κερδέων.

(Theocrit. XVI [XV], 14 sq.)

. . . πολλάκι δ' εἰς ἀρετὴν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦθ' ἀγάθ' εἶναι,
εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

(Theognis, 402 sqq.)

. . . πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.

(Hom. Od. XXIII, 217.)

. . . πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.

(E. Cycl. 312 sq.)

Πρὸς κέρδος ἴδιον ἄλλος ἄλλοσε στρέφει.

(E. Suppl. 413.)

Στοιχεῖα τῶν κακῶν ἀπληστία καὶ φιλοδοξία.

(Timon.)

. . . σὺ δ' αὐτὸς, ὥσπερ οἱ σοφοὶ, τὰ μὲν
δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

(S. Fr. 26.)

Σφόδρ' εὐάλωτόν ἐστιν ἡ πονηρία,
εἰς γὰρ τὸ κέρδος μόνον ἀποβλέπουσ' ἀεὶ,
ἀφρόνως ἅπαντα καὶ προπετῶς συμπείθεται.

(Demetrius, Stob. II, 1.)

Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.

(S. Antigone, 326.)

Τὰ μεγάλα κέρδη ῥᾳδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας, ἢ νεκροὺς ποιεῖ.

(Men. incert. Meineke, v. IV, p. 259.)

Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.
(Antiphan. incert. Meineke, v. III, p. 148.)

Τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ.
(S. Fr.)

Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ.
(Men. Monost. Meineke, v. IV, p. 354.)

. . . τοῦτο μόνον ἐπισκοτεῖ
καὶ δυσγενείᾳ καὶ τρόπου πονηρίᾳ,
καὶ πᾶσιν, οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς·
τὸ πολλὰ κεκτῆσθαι.
(Men. Meineke, v. IV, p. 214.)

Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντως κάκιον.
(Democrit. Stob. XCIV, 255.)

Ὡς δυστυχεῖς, ὅσοισι τοῦ κέρδους χάριν
ἐπίπροσθε ταἰσχρὰ φαίνετ' εἶναι τῶν καλῶν.
ἐπισκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν.
(Antiphan. Meineke, v. III, p. 148.)

Vide: *Modus:* Κερδέων. — *Virtus:* Ἀμφ' ἀρετῇ.

Luctus (cf. Dolor, Lacrima, Mors).

Αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι φίλοις.
(E. Alcest. 542.)

. . . ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
(Hom. Od. XVIII, 174.)

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν· οὐ γὰρ ἔοικεν
γαστέρι πενθῆσαι νεκρόν, Ὅμηρος ἔφη·
καὶ γὰρ δμοῦ θάψασαν δωδεκάτῳ δώδεκα τέκνα
σίτου μνησαμένην τὴν Νιόβην παράγει.
(Pallad. Anthol. X, 47.)

Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει·
ἦν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.
(E. Fr. Phrix. X.)

Μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
(Hom. Il. XXIV, 46 sqq.)

. . . νεμεσσῶμαί γε μὲν οὐδὲν
κλαίειν, ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσιν,
κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
(Hom. Od. IV, 195 sqq.)

Οὐ θρηνητέον οἵων φίλων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιοτεύσαμεν.
(Apollon. Stob. CXXIV, 35.)

Οὐ μὰν οὐδ' ἄχος ἐστὶ μετὰ φρεσίν, οὐδέ τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
βλήεται.
(Hom. Od. XVII, 470 sqq.)

Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα, φίλα.
(S. Fr. 728.)

Παύετε θρήνων, παῖδες· ἐν οἷς γὰρ
χάρις ἡ χθονία ξυναπόκειται,
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
(S. Oed. Col. 1751 sqq.)

. . . τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
(E. Fr. Hypsipyl. VI.)

. . . τῷ δὲ δυστυχοῦντί πως
τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.
(E. Fr. Oeneus, VI.)

Lupus.

Οὐδὲ λύκοι καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν.
(Hom. Il. XXII, 263.)

Τῷ λύκῳ τὴν οἶν;
(Prov.)

Luscinia.

Κόρακες ἀηδόνων αἰδεσιμώτεροι.
(Prov.)

Magnitudo (cf. Paucitas, Parvum).

Ἀλλ' οὐ τὸ μέγα εὖ ἐστιν, οὔτε τὸ εὖ μέγα.
(Prov.)

— Βέλτιόν ἐστιν ἐν μικρᾷ παρουσίᾳ συστελλόμενον εὐθυμεῖν, ἢ μεγάλῃ τυγχάνοντα δυστυχεῖν.
(Stob. M. Flor. XX, 43.)

Δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους.
(Appian.)

— Εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα.
(Men. Monost. Meineke, v. IV, p. 345.)

— Ἢ φρονεῖν ἐλάσσονα, ἢ δύνασθαι δεῖ σε μείζονα.
(E. Fr. incert. 155.)

Μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καὶ αἱρέεσθαι.
(Herodot. 7.)

Μεγάλαι μεγάλων εὐδαιμονίαι.
(E. Iphig. A. 591.)

Μέγας ἀγών· μεγάλα δ' ὑπονοεῖς ἑλεῖν.
μακάριός γε μὴν κυρήσας ἔσει.
(E. Rhes. 195 sq.)

Μέγας δὲ πλεῦρα βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
(S. Aias, 1253 sq.)

— . . . μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.
(E. Electra, 1098 sq.)

Οὐδὲν τῶν μεγάλων ἄφνω γίνεται.
(Arrhian.)

— Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.
(E. Fr. Erechth. VII.)

— Οὐ χαλεπῶς τὸν μέγαν (πλοῦτον ἐκτησάμην), τὸν δὲ βραχὺν ἐπιπόνως.
(Lampid. Stob. XXIX, 87.)

— Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακά.
(E. Androm. 352.)

— Πρᾶττε μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.
(Pythagor. Stob. I, 24.)

— Σταθμώμενος μικρῷ λόγῳ τὰ μεγάλα.
(Plato.)

Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις.
(S. Aias, 758 sq.)

Ταῦτ' εἰ καὶ σμικρά τις ἡγεῖται, μεγάλα ἐστὶ τοῖς σοφοῖς.
(Incerti auctoris.)

— Τὸν δ' ἡμίοπον καὶ τὸν ἐλάσσονα
ταχέως ὁ μέγας καταπίνει.
(A. Fr. 85.)

. . . *—* τῶν ἄγαν ἅπτεται,
τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ.
(E. Fr. incert. 86.)

Φεῦ, φεῦ, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.
(E. Fr. Alcm. XII.)

— Ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα.
(S. Oed. Col. 72.)

Malleus.

Μεταξὺ τοῦ ἄκμονος καὶ σφύρας.
(Prov.)

Malum (cf. Bonum, Miseria, Calamitas, Vitium), * Malitia.

. . . αἰόλ' ἀνθρώπων κακά,
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν.
(A. Suppl. 327 sq.)

. . . ἀλλ' ἐν τοῖς κακοῖς
πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.
(S. Electra, 308 sq.)

Ἄνευ κακῶν γὰρ οἰκίαν οἰκουμένην
οὐκ ἔστιν εὑρεῖν, ἀλλὰ τοῖς μὲν ἡ τύχη
τούτων δίδωσιν ἀφθονίαν, τοῖς δ' οἱ τρόποι.

(Men. Meineke, v. IV, p. 252.)

*Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.

(Men. Monost. Meinecke, v. IV, p. 341.)

*Βλαβερώτερον πάντων κακία, καὶ γὰρ τὰ χρηστὰ βλάπτει παραγενομένη.

(Thales, Stob. II, 21.)

Ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει κακόν,
ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίνεται.

(Ecdor. Stob. XC, 9.)

Ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ,
κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

(S. Fr. 98.)

Κακία δύναται πλέον τῆς ἀρετῆς.

(Prov.)

Κακοὶ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

(A. Fr. 281.)

Κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς,
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.

(S. Antigone, 1326 sq.)

Λέρνη κακῶν.

(Prov.)

. . . μηδὲ πρὸς κακοῖς
τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ νέαν λάβοι,
ἅλις γὰρ ἡ παροῦσα.

(S. Trach. 330 sqq.)

*—*Μήτ' ἐμοὶ μέλι, μήτε μέλισσα.

(Sapph. Schneidew. Delect. p. 306.)

*—*Ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός.

(Aeschin. Ctesiphont.)

Οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ', εἶτα μηχαναῖς
κοσμοῦσιν.

(E. Ion, 832 sqq.)

Ὁμοίως ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν.

(Iamblich. Stob. XLIII, 71.)

. . . οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.

(S. Philoct. 1360 sq.)

Ὄνειδος αἰσχρὸς βίος, ὅμως κἂν ἡδὺς ᾖ.

(Men. Meineke, v. IV, p. 282.)

Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,
παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.

(E. Fr. Polyid. XII.)

— Ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.

(Hom. Od. XXII, 373 sq.)

Παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.

(Men. Meineke, v. IV, p. 239.)

Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.

(Hes. Op. 101.)

Πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

(E. Fr. Plisth. II.)

Πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ', ὅπως
δείξωσιν αὑτοὺς τῶν κακῶν ἐξουσίᾳ.

(E. Fr. Temenus, XIV.)

Πολλοὺς λογισμοὺς ἡ πονηρία κυκλοῖ.

(Men. Meineke, v. IV, p. 182.)

Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.

(E. Fr. incert. Stob. Ecl. II, 11.)

Τὰς τῶν φαύλων συνουσίας ὀλίγος χρόνος διέλυσεν.

(Prov.)

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

(S. Fr. 714.)

Τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· ὀλίγη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.

(Hes. Op. 285 sq.)

Τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ κακοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν.

(Xenoph. ap. Plutarch.)

Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς.

(Incerti auctoris.)

— Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ,
    τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.

(Theognis, 797 sq.)

. . . τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ', αἳ φανῶσ' αὐθαίρετοι.

(S. Oed. R. 1230 sq.)

Τρία Κάππα κάκιστα· Κρῆτες, Καππάδοκες, Κίλικες.

(Prov.)

Φύσιν πονηρὰν ἐκβάλλειν οὐ ῥᾴδιον.

(Men. Monost. Meineke, v. IV, p. 355.)

— Χαλεπὰ τὰ καλά, τὰ δὲ κακὰ οὐ χαλεπά.

(Theoct. Stob. CXXV, 22.)

Χρὴ τῶν κακῶν ἐπιλέγεσθαι τὰ μετριώτερα.

(Appian. Bell. Punic.)

. . . ὡς κακὸν κακῷ
διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται.

(E. Androm. 802 sq.)

Manus.

Ἡ δὲ χεὶρ τὴν χεῖρα νίζει, δός τι καὶ λάβοις τι.
(Epicharm. Stob. X, 13.)

Ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει.
(Prov.)

Οὐ μόνον δεῖ τὰς χεῖρας ἔχειν παρ' αὐτῷ, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς.
(Plutarch.)

Τὴν χεῖρα ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαις ἐποίησεν.
(Xenophon.)

Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.
(Epicharm.)

Mare (cf. Terra).

— Πιστὸν γῆ, ἄπιστον θάλασσα.
(Thales.)

— Πλοῦς μὲν ὁ παρὰ γῆν, περίπατος δὲ ὁ παρὰ θάλασσαν ἥδιστον.
(Plutarch.)

— Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν.
(Callimach.)

Mater, *Matercula (cf. Pater, Liberi, Partus).

*Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
(Hes. Op. 823.)

Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος, ὧν τέκῃ, προσγίγνεται.
(S. Electra, 771 sq.)

* Δεινότερον οὐδὲν ἄλλο μητρυιᾶς κακόν.
(Men. Monost. Meineke, v. IV, p. 341.)

Ἔστιν δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρὸς,
ἡ μὲν γὰρ αὑτῆς οἶδεν υἱὸν, ὁ δ' οἴεται.
(E. Fr. incert. 184, Meineke, v. IV, p. 261.)

Ἐχθρὰ γὰρ ἡ 'πιοῦσα ματρυιὰ τέκνοις
τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
(E. Alcest. 309 sq.)

Ἡ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροὸς, ὡς ὅτε μήτηρ
παιδὸς ἐέργει μυῖαν, ὅθ' ἡδέϊ λέξατο ὕπνῳ.
(Hom. Il. IV, 130 sq.)

Ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
(S. Trach. 817 sq.)

Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις·
ἐρᾶτε μητρὸς, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος, οἷος ἡδίων ἐρᾶν.
(E. Fr. Erechth. XIX.)

*Προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.
(E. Ion, 1329.)

Πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ
τοῖς πρόσθεν, ἡ ζυγεῖσα δευτέρῳ πόσει.

(E. Fr. Aeg. X.)

* . . . φθονεῖν γάρ φασι μητρυιὰς τέκνοις.

(E. Ion, 1025.)

Ὡς ὄρνις ἀπτῆσι νεοσσοῖσιν προφέρῃσιν
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.

(Hom. Il. IX, 323 sqq.)

* Ὡς οὐδὲν ὑγιές φασι ματρυιὰς φρονεῖν
νόθοισι παισίν.

(E. Fr. Phrix. V.)

Matrimonium, *Maritus, †Uxor (cf. Familia, Liberi, Femina, Virgo), **Dos.

Αἰαῖ, γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.

(E. Orest. 605 sq.)

† Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν,
κάθευδ' ἀηδῶς ἡδέως μασώμενος.

(Philippid. Meineke, v. IV, p. 476.)

. . . ἀληθινὸν
εἰς πέλαγος αὑτὸν ἐμβαλεῖς πραγμάτων
οὐ Λιβυκὸν, οὐδ' Αἰγαῖον,
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.

(Men. Meineke, v. IV, p. 88.)

* . . . ἀλλ ἔμοιγ' εἴη πόσις
μὴ παρθενωπός, ἀλλά τ' ἀνδρείου τρόπου.

(E. Electra, 948 sq.)

Ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον (τὸ νεάζον)
ἐς τοῦτ', ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.

(S. Trach. 147 sqq.)

Ἀλλ' οὔποτ', οὔποτ' (οὐ γὰρ εἰσάπαξ ἐρῶ),
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐσφοιτᾶν ἐᾶν
γυναῖκας.

(E. Androm. 943 sqq.)

Ἄλυπον ἄξεις τὸν βίον χωρὶς γάμου.

(Men. Monost. Meineke, v. IV, p. 341.)

† Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικὼς, βούλεται πάλιν πεσεῖν.

(Philem. incert. Meineke. v. IV, p. 59.)

— Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης,
ἢ πρὸς φίλον τιν', ἢ πρὸς ἥλικας τραπεὶς,
ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.

(E. Medea, 244 sqq.)

† Ἀπέπτυσ' αὐτὴν, ἥτις ἄνδρα τὸν πάρος
καινοῖσι λέκτροις ἀποβαλοῦσ' ἄλλον φιλεῖ.

(E. Troad. 662 sq.)

** Γάμει δὲ μὴ τὴν προῖκα, τὴν γυναῖκα δέ.

(Men. Monost. Meineke, v. IV, p. 343.)

Γάμει ἐκ τῶν ὁμοίων· ἢν γὰρ ἐκ τῶν κρεισσόνων γήμῃς, δεσπότας καὶ οὐ συγγενεῖς κτήσῃ.

(Pittac. Or. I, 148.)

Γαμεῖν ὃς ἐθέλει, ἐς μετάνοιαν ἔρχεται.

(Philem. incert. Meinecke, v. IV, p. 62.)

Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
ἀγαθῶν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν.

(Men. Meineke, v. IV, p. 260.)

Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσι βροτῶν
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶν, τά τε θύραζε δυστυχεῖς.

(E. Orest. 602 sqq.)

** Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν·
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.
ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβὼν,
σύνεργον οὗτος ἀντὶ δεσποίνης ἔχει
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.

(Hipponax, Stob. LXXII, 5.)

Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

(E. Fr. Melanipp. Vinct. XV.)

Γάμους εὐτελεῖς καὶ ἰσοτίμους ποιοῦ.

(Chilon, Stob. LXX, 15.)

† Γλώσσης τε σιγὴν, ὄμμα θ' ἥσυχον πόσει
παρεῖχον· ᾔδειν δ' ἁμὲ χρῆν νικᾶν πόσιν,
κείνῳ τε νίκην ὧν μ' ἐχρῆν παριέναι.

(E. Troad. 649 sqq.)

† Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

(E. Fr. incert. 34.)

Δύ' ἔσθ', ἃ κρίναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤτοι προσήνη ὄψιν, ἢ χρηστὸν τρόπον.
ταῦτα γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ.
(Men. incert. Meineke, v. IV, p. 251.)

Εἰ δ' εἰς γάμους ἔλθοιμι, ὃ μὴ τύχοι ποτέ.
(E. Fr. Meleagr. VIII.)

Εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν;
(Ar. Thesmoph. 789.)

Εἴ τις ἅπαξ γήμας πάλιν δεύτερα λέκτρα διώκει,
ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.
(Anthol. IX, 133.)

Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.
(E. Fr. Alex. XII.)

** Ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους,
πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.
(E. Fr. Phaëthon, XIII.)

Ἓν ἐστ' ἀληθὲς φίλτρον εὐγνώμων τρόπος·
τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή.
(Men. incert. Meineke, v. IV, p. 259.)

. . . ἐπιτρίβουσιν ἡμᾶς οἱ θεοί,
μάλιστα τοὺς γήμαντας· ἀεὶ γάρ τινα
ἄγειν ἑορτήν ἐστ' ἀνάγκη.
(Men. incert. Strabo, VII, 257, Ed. Paris.)

† Εὐλογεῖν δ' ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
κἀκπονεῖν, ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.
(E. Fr. incert. 100.)

Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος,
ἀλλ' ἓν ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.
(E. Fr. Antigone, VIII; Men. Monost. Meineke, v. IV, p. 345.)

Ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.
(E. Alcest. 882.)

Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
(Men. Monost. Meineke, v. IV, p. 345.)

Ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,
ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.
(E. Fr. Meleagr. IX.)

Ἡδὺ δ', ἢν κακόν τι πράξῃ, συσκυθρωπάζειν πόσει
ἄλοχον, ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.
(E. Fr. incert. 100.)

Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
(Men. Monost. Meineke, v. IV. p. 346.)

** Ἢ μὴ γαμεῖν γάρ· ἂν δ' ἅπαξ λάβῃς, φέρειν
μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ,

ἐκπυνθάνεσθαί τ' ἀρσένων πέρι μηδὲ ἕν.

(Men. incert. Meineke, v. IV, p. 226.)

Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις,
μὴ πρὸς τὸ γῆρας τοὺς γάμους ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας — οὐ γὰρ ἡδονή —,
ἀλλ' ὡς τάχιστα· καὶ γὰρ ἐκτροφαὶ καλαὶ
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

(E. Fr. Danaë, II.)

** Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα,
οὐκ ἐξετάζειν μὲν τὰ μηδὲν χρήσιμα,
τίς ἦν ὁ πάππος, ἧς γαμεῖ, τήθη δὲ τίς;
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' ἐξετάσαι μήτ' εἰσιδεῖν,
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι, δοκιμαστὴς ἴδῃ.

(Men. incert. Meineke, v. IV, p. 228.)

Κᾆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν,
δοῦναί τ' ἐς ἐσθλοὺς, ὅστις εὖ βουλεύεται;
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν
μηδ' εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις.

(E. Androm. 1279 sqq.)

** Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.

(Theognis, 183 sqq.)

. . . κύδιον βροτοῖς
πένητα χρηστὸν ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον.

(E. Androm. 640 sqq.)

Μακάριος, ὅστις εὐτυχεῖ γάμον λαβὼν
ἐσθλῆς γυναικὸς, εὐτυχεῖ δ' ὁ μὴ λαβών.

(E. Fr. incert. 29.)

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων
ἀλόχου τε κεδνῆς· ὡς μόνων τῶν χρημάτων
ἢ κρεῖσσόν ἐστι τἀνδρὶ, σώφρον' ἂν λάβῃ.

(E. Fr. Oedip. VII.)

Μηδέποτε γήμῃ μηδὲ εἷς εὔνους ἐμοί.

(Men. Monost. Meineke, v. IV, p. 359.)

Μὴ νῦν ποτ', ὦ παῖ, τὰς φρένας ὑφ' ἡδονῆς
γυναικὸς εἵνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι

ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις.

(S. Antigone, 648 sqq.)

Μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα
δίδωσιν, ὅστις οὐκέθ' ὡραῖος γαμεῖ.
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

(E. Fr. Phoenix, I.)

Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος·
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος· αἱ γὰρ διαλύσεις οὐ ῥᾴδιαι.

(E. Fr. Melanipp. Vinct. XVI.)

** . . . οἰκόσιτον νυμφίον
οὐδὲ δεόμενον προικὸς ἐξευρήκαμεν.

(Men. Meineke, v. IV, p. 99.)

. . . ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων
τὴν αὐτοῦ φιλέει καὶ κήδεται.

(Hom. Il. IX, 341.)

Ὅστις γαμεῖν βουλεύετ', οὐ βουλεύεται
ὀρθῶς· διότι βουλεύεται χοὕτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ·
ἢ γὰρ πένης ὢν τὴν γυναῖκα, χρήματα
λαβὼν, ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι,
ἧς ἐστι δοῦλος καὶ πένης· ἣν αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίγνεται.
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι,
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίγνεται
μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων.
ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίγνεται.

(Anaxandr. Meineke, v. III, p. 135.)

Ὅστις πενόμενος βούλεται ζῆν ἡδέως,
ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω γάμου.

(Men. Meineke, v. IV, p. 260.)

† Ὅστις δὲ μόχλοις καὶ διὰ σφραγισμάτων
σώζει δάμαρτα, κἂν ἀνὴρ δοκῶν σοφὸς,
μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται,

λάθοι δ' ἂν Ἄργου τὰς πυκνοφθαλμοὺς κόρας,
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως·
ἀνήρ τ' ἀχρεῖος καὶ γυνὴ διοίχεται.

(Men. incert. Meineke, v. IV, p. 226.)

** Ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηράν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.

(E. Electra, 1097 sqq.)

— Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ, ὡς δοκεῖ, γυναῖκα λαμβάνει μόνον,
ὁμοῦ δὲ τῇδέ τ' εἰσκομίζεται λαβὼν
καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον.

(Meineke, Fr. incert. v. IV, p. 690.)

— Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἀνδρὸς στερηθῇ,
ἀβίωτος ὁ καταλειπόμενος γίγνεται βίος.

(Stob. LXV, 2.)

** Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἑλόμενος
τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

(Men. Meineke, v. IV, p. 251.)

. . . οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον· γεγάμηκα γὰρ
αὐτός· διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.

(Men. Meineke, v. IV, p. 88.)

Οὐκ ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.

(E. Rhes. 168.)

Οὐκ ἔστι γήμας, ὅστις οὐ χειμάζεται,
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

(Anthol. X, 116.)

** Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ἔντως γυναικὸς προῖκα πολλὴν φερομένης.

(Antiphan. Meineke, v. III, p. 151.)

. . . οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυσμενέεσσιν,
χάρματα δ' εὐμενέτῃσι· μάλιστα δέ τ' ἔκλυον αὐτοί.

(Hom. Od. VI, 183 sqq.)

Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις,
οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ
κακῆς γυναικὸς, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

(E. Fr. incert. 28.)

— . . . οὔποτ' ἄνδρα χρὴ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων,
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,

ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρεφωμένη
βλέπουσά τ' εἰς πᾶν, καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασά τ' ἀπήλλακται κακῶν,
τὸ δ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.

(Men. incert. Meineke, v. IV, p. 226.)

Πάντες φίλοι μοι, πλὴν ὁ θηρεύων γάμους.

(E. Helen. 314.)

Πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος,
κἂν ὁ κάκιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν.

(E. Fr. Oedip. V.)

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή,
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

(Ibidem, IV.)

Πλούτου δ' ἀποῤῥυέντος ἀσθενεῖς γάμοι.
τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

(E. Fr. Cressae, IX.)

Πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ·
οὐ γὰρ ὀφθαλμὸς ὁ κρίνων ἐστίν, ἀλλὰ νοῦς.

(E. Fr. incert. 100.)

Σπάνιον δὲ θήρευμ' ἀνδρὶ τοιαύτην λαβεῖν
δάμαρτα· φλαύραν δ' οὐ σπάνις γυναῖκ' ἔχειν.

(E. Iphig. A. 1162 sq.)

** Τὰ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν
οὐκ ἀσφαλῆ τὴν κτῆσιν, οὐδ' ἱλαρὰν ἔχει.

(Men. Meineke, v. IV.)

Τὴν ἀξίαν γὰρ δεῖ γαμεῖν τὸν ἄξιον.

(Meineke, Fr. incert. v. IV, p. 603.)

Τὴν δ' εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν·
τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.

(E. Fr. Ino, VI.)

Τίς δῆθ' ὑγιαίνων νοῦν τ' ἔχων τολμᾷ ποτε
γαμεῖν ποτε διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν;
πολλῷ γε τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι.

(Alexid. Meineke, v. III, p. 519.)

Τὸ γαμεῖν, ἐάν τις ἀλήθειαν σκοπῇ,
κακὸν μέν ἐστιν, ἀλλ' ἀναγκαῖον κακόν.

(Men. Meineke, v. IV, p. 260.)

Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων . . .
πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει.

(Men. Meineke, v. IV, p. 260.)

Τὸ δ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.

(Men. Meineke. v. IV, p. 226.)

Τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν.

(A. Eumenid. 737.)

. . . τὸν παρόντα μὲν
στέργειν πᾶσιν χρή, τὸν δὲ μηκέτ' ὄντα οὐκ ἐᾶν.

(E. Helen. 1288 sq.)

Τύχη γυναικῶν ἐς γάμους· τὰ μὲν γὰρ εὖ,
τά δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν.

(E. Electra, 1100 sq.)

Τῶν γὰρ πλούτων ὅδ' ἄριστος·
γενναῖον λέχος εὑρεῖν.

(E. Fr. Androm. XVII.)

† . . . χρὴ γὰρ εὐναίῳ πόσει
γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.

(E. Fr. Phrix. VII.)

† Χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
γυναῖκα χρηστὴν κἀγαθήν, ἢ μὴ τρέφειν.

(E. Iphig. A. 749 sq.)

. . . ὦ
γυναικῶν λέχος πολύπονον
ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

(E. Medea, 1290 sqq.)

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά, γάμος δέ τοι ὥριος οὗτος.
ἡ δὲ γυνὴ τέτορ' ἡβῴη, πέμπτῳ δὲ γαμοῖτο·
παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.

(Hes. Op. 693 sqq.)

Ὥρῃ ἐρᾶν, ὥρῃ δὲ γαμεῖν, ὥρῃ δὲ πεπαῦσθαι.

(Dionys. Anthol. X, 38.)

Ὡς ἐστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

(Antiphan. incert. Meineke, v. III. p. 151.)

Vide: *Mens:* Νοῦν χρή. — *Senectus:* Οἴμοι, Οὐ σύμφορος, Οὗτοι, Παραπλήσιον. — *Solus:* Τὸν μόνον. — *Suasio:* Εἰς τὸ. — *Sympathia:* Σοί.

Medicina, Medicus (cf. Morbus, Sanitas).

Ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι
ἔστιν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.

τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας· εἶτ' ἐπὰν πταίσωσί τι
αὐτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε.
ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἐστ' ἴσως.

(Phil. Meineke, v. IV, p. 24.)

Εἰ μέν τι κακὸν ἀληθὲς εἶχες, Φειδία,
ζητεῖν ἀληθὲς φάρμακον τούτου σ' ἔδει,
νῦν δ' οὐκ ἔχεις.

(Men. Meineke, v. IV, p. 100.)

Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

(S. Aias, 362 sq.)

Θεράπεια ἀναιροῦσα τὰς ἀρχὰς τῆς νόσου μάλιστ' ἂν παρασκευάζει τὴν ὑγίειαν.

(Diod. Sicul.)

Ἰατρὸς ἀδόλεσχος ἐπὶ νόσῳ νόσος.

(Men. Monost. Meineke, v. IV, p. 347.)

Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν.

(Hom. Il. XI, 514 sq.)

Καὶ τοῖς ἰατροῖς οὐδὲν ἔπεστι τέλος.

(Solon.)

Μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον
ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα.

(E. Fr. incert. 42.)

Οἱ ἰητροὶ φήμῃ μὲν πολλοί, ἔργῳ δὲ πάγχυ βαιοί.

(Hippocrat.)

Οἱ δ' ἰητροὶ σοφιζόμενοι δῆθεν ἔστιν οἳ ἁμαρτάνουσιν.

(Hippocrat.)

. . . οὐδέ τι μῆχος
ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν.

(Hom. Il. IX, 249 sq.)

. . . οὐ πρὸς ἰατροῦ σοφοῦ
θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

(S. Aias, 581.)

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εὖ σκοπῇς,
τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους.

(Phil. Meineke, v. IV, p. 50.)

Παρέχω ἐμαυτὸν ἰατρῷ τέμνειν καὶ καίειν.

(Prov.)

Πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἰᾶσθαι, μὴ 'πιτακτὰ φάρμακα

διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

(E. Fr. Belleroph. XXII.)

Τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰήματα.

(Hippocrat.)

Τὸ φάρμακόν σου τὴν νόσον μείζω ποιεῖ.

(Meineke. Fr. incert. v. IV, p. 672.)

Φύσεως ἀντιπραττούσης κενεὰ πάντα.

(Hippocrat.)

. . . ὡς κακῶς ἔχει
ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς ἔχῃ.

(Phil. Meineke. v. IV, p. 68.)

Memoria, Commemoratio, Recordatio (cf. Oblivio).

. . . ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.

(S. Aias, 520 sq.)

Ἕξεις ἔργῳ μνήμην.

(Bias ap. Stob.)

Ἐπὰν ἐκ μεταβολῆς ἐπὶ κρεῖττον γένῃ,
ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.

(Men. incert. Meineke. v. IV, p. 275.)

Μισῶ μνάμονα συμπότην.

(Lucian.)

— Μνήμη καὶ λήθη μέγα χαίρετον, ἡ μὲν ἐπ' ἔργοις
μνήμη τοῖς ἀγαθοῖς, ἡ δ' ἐπὶ λευγαλέοις.

(Anthol. Epigr. X, 67.)

Μνήμην ἁπάντων μουσομήτορ' ἐργάτιν.

(A. Prom. Vinct. 461.)

Νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισιν,
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,
ὅστις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ' ἐπαληθῇ.

(Hom. Od. XV, 398 sqq.)

Πᾶν ἐφήμερον· καὶ τὸ μνημονεῦον, καὶ τὸ μνημονευόμενον.

(M. Anton. 435.)

Πολλὰ καὶ ὧν πάνυ ἴσμεν ἔστιν, ὅτε ἐπὶ τὴν μνήμην οὐκ ἀπαντᾷ.

(Iul. Pollux.)

Πράττων καλῶς μέμνησο τὴν δυσπραξίαν.

(Men. Meinecke, v. IV, p. 270.)

Τῶν γὰρ πεπραγμένων ἐπιτερπεῖς αἱ μνῆμαι, καὶ τῶν μελλόντων ἐλπίδες ἀγαθαί.

(Arist. Eth. Nic. 6.)

Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί,
ὅτου δ' ἀποῤῥεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.

(S. Aias, 523 sqq.)

Ὡς ἡδὺ θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

(Callimachus.)

Mendicitas, Mendicus.

Ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.

(Hom. Od. XIV, 124 sq.)

Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.

(Hom. Od. XVII, 226 sqq.)

. . . κακὸς δ' αἰδοῖος ἀλήτης.

(Hom. Od. XVII, 578.)

Mens (cf. Consilium, Animus, Ratio, Prudentia, Sapientia), * Dementia (cf. Insania, Stultitia).

Ἄνοια πᾶσιν ἐγγίγνεται, πλησιαζόντων τῶν κακῶν.

(Appian. de Mithridat.)

Ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας.

(S. Fr. 662.)

— Αὐξανομένου τοῦ σώματος, συναύξονται φρένες· γηράσκοντος δὲ συγγηράσκουσι καὶ εἰς τὰ πράγματα πάντα ἀμβλύνονται.

(Democrit. Stob. CXVIII.)

Γνώμη τε μεγάλη ἐν πένητι σώματι.

(E. Electra, 372.)

Ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσιν φίλος
καὶ πολύευκτος ὄλβος.

(A. Eumenid. 535 sqq.)

Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι
οὐκ ἔστ' ἀκούειν αὐτὸν, οὐδ' ὁρᾶν.

(Philem. Meineke, v. IV, p. 54.)

Εὐγένεια καλὸν μέν, ἀλλὰ προγόνων ἀγαθῶν. Πλοῦτος δὴ τίμιον μὲν, ἀλλὰ τύχης κτῆμα. Δόξα γε μὲν σεμνὸν, ἀλλ' ἀβέβαιον. Κάλλος δὲ περιμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. Ὑγίεια δὲ τίμιον μὲν, ἀλλ' εὐμετάστατον. Ἰσχὺς δὲ ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος.

(Plutarch. Moral.)

Ἤκουσα τούτων αὐτὸς, οὐδὲ φύεται
αὐτόματον ἀνθρώποισιν, ὦ βέλτιστε, νοῦς,
ὥσπερ ἐν ἀγρῷ θύμος· ἐκ δὲ τοῦ λέγειν τε καὶ
ἑτέρων ἀκούειν καὶ θεωρῆσαι . . .
κατὰ μικρὸν αἰεί, φασι, φύονται φρένες.

(Philem. incert. Meineke, v. IV, p. 34.)

Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.

(Men. Monost. Meineke, v. IV, p. 350.)

Μήτε κακοῖσιν ἀσῶ τι λίην φρένα, μήτ' ἀγαθοῖσι
τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

(Theognis, 593 sq.)

Νοῦν χρὴ θεάσασθαι. τί τῆς εὐμορφίας
ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ;

(E. Fr. Oedip. VI.)

Ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.

(E. Iphig. A. 1139.)

Οὐ γὰρ ὀφθαλμὸς τὸ μορφὴν κρῖνόν ἐστιν, ἀλλ' ὁ νοῦς.

(E. Fr. incert. 100.)

Οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

(Hom. Epigr. 5.)

Οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.

(Prov.)

Πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας
πάντων, ὅσ' ἐστὶ, κτημάτων ὑπέρτατον.

(S. Antigone, 683 sq.)

Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

(Pythag. Stob. I, 23.)

Ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

(Simonid. Schneidewin, Delectus 394.)

Τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ.

(E. Hippol. 696.)

Φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.

(A. Pers. 767.)

Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.

(Men. Monost. Meineke, v. IV, p. 355.)

Ὡς ὄψις ἐν ὀφθαλμῷ, ὁ νοῦς ἐν τῇ ψυχῇ.

(Aristoteles, Stob. III, 13.)

Ὢ πόποι, οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

(Hom. Od. XVII, 454.)

Ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπὲς, οὐδέ κεν ἄλλως
οὐδὲ θεὸς τεύξειε· νόον δ' ἀποφώλιός ἐσσι.

(Hom. Od. VIII, 176 sq.)

Mensura.

Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
αὐτῷ τῷ μέτρῳ καὶ λώϊον, αἴ κε δύνηαι.

(Hes. Op. 347 sq.)

Mercator.

Πάντα, φασὶ, δεῖν τὸν ἔμπορον κάλων σείειν.

(Apollodor.)

14*

Meretrix.

. . . χαλεπὸν, Πάμφιλε,
ἐλευθέρῃ γυναικὶ πρὸς πόρνην μάχη.
πλείονα κακουργεῖ, πλείονα οἶδε, αἰσχύνεται
οὐδὲν, κολακεύει μᾶλλον.

(Men. incert. Meineke, v. IV, p. 245.)

Πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

(Scolia, 16, Schneidewin, Delectus, 460.)

Metus, (cf. Cautio, Audacia, Fiducia, Spes.)

Ἀεί τιν' ἐκ φόβου φόβον τρέφω.

(S. Trach. 28.)

. . . αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν.

(Pind. Olymp. VIII, 55 sq.)

Ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

(S. Fr. 58.)

— Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενὴς,
λαβὼν δὲ μικρὸν τῆς τύχης, φρονεῖ μέγα.

(E. Fr. Temenus, XVI.)

Ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.

(A. Sept. Contr. Theb. 259.)

Ἔσθ' ὅπου τὸ δεινὸν εὖ
καὶ φρενῶν ἐπίσκοπον
δειμανεῖ καθήμενον.
ξυμφέρει
σωφρονεῖν ὑπὸ στένει.
τίς δὲ μηδὲν ἐν φάει
καρδίας ἀνατρέφων
ἢ πόλις βροτός θ' ὁμοί-
ως ἔτ' ἂν σέβοι δίκαν;

(A. Eumenid. 517 sqq.)

Θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυηράτου ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
Οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου·
νήπιοι οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς.

(Simonides, Schneidewin, Delectus, Poët. eleg. p. 402.)

Ἵνα δέος, ἔνθα καὶ αἰδώς.

(Plato.)

* Ἴσχε, μὴ φόβῳ νικῶ πολύ.

(A. Choëph. 1052.)

* Μέμνησο, μὴ φόβος σε νικάτω φρένας.

(A. Eumenid. 88.)

Οἷον φόρημα ὁ φόβος.

(Xenoph. Cyrop. III, I, 24.)

Οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,
μηδὲν φόβου πρόβλημα, μηδ' αἰδοῦς ἔχων.

(S. Aias, 1073 sqq.)

. . . οὐκ αἰνῶ φόβον
ὅστις φοβεῖται, μὴ διεξελθὼν λόγῳ.

(E. Troad. 1165 sq.)

Οὕτως κἂν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἀκ τοῦ καθεύδειν οὗτος οὐκ ἐξέρχεται.

(Phil. Meineke, v. IV, p. 56.)

Ὁ φόβος, ὅταν τι σώματος μέλῃ πέρι,
λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον
τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει,
τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται·
τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὁ δ' ἀθῷος μένει.

(E. Fr. Alcmene, XIV.)

Ὁ φόβος πρῶτον τῆς σοφίας σπάργανον.

(Incerti auctoris.)

Τάξιν φυλάξων εἶμ' ἐλεύθερος φόβου.

(E. Rhesus, 664.)

Ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει,
τὴν ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.

(S. Trach. 723 sq.)

Τί δ' ἂν φοβοῖτ' ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
κρατεῖ; πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής.

(S. Oed. R. 977 sq.)

Τί πολλὰ τηρεῖν πολλὰ δεῖ δεδοικότα;

(Men. Meineke, v. IV, p. 71.)

. . . τίς γὰρ μακάριος, τίς εὐτυχής,
ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει;

(E. Ion, 623 sqq.)

. . . ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.

(A. Suppl. 479.)

* Φόβος κολακίην μὲν ἐργάζεται, εὔνοιαν δ' οὐκ ἔχει.

(Democrit.)

Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα,
ἄψ τ' ἀνεχώρησεν, ὦχρός τέ μιν εἷλε παρειάς.

(Hom. Il. III, 33 sqq.)

Vide: *Deus:* Ζεύς. — *Minatio:* Οὔτ'. — *Peccatum:* Μὴ διά.

Militia, (cf. Bellum).

Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,
αὐτὸς ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

(Men. Meineke, v. IV, p. 258.)

Στρατιῶτα κοὐκ ἄνθρωπε, καὶ σιτούμενε
ὡς τὰ ἱερεῖα, ἵν' ὅταν ᾖ καιρὸς, τυθῇς.

(Phil. Meineke, v. IV, p. 55.)

Τίς δ' οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

(Antiphanes, Meineke, v. IV, p. 151.)

Minae, Minatio.

Αἱ μὲν βρονταὶ μάλιστα τοὺς παῖδας, αἱ δ' ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν.

(Socrat.)

Οὔτ' ἀῤῥώστου πληγὴν, οὔτ' ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

(Pythagor. Orell. 1.)

Τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;

(S. Antigone, 753.)

Miseria, (cf. Felicitas), v. Malum, Calamitas, Aerumnae, Dolor, Paupertas.

Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

(S. Fr. incert. 663.)

Ἀτυχοῦντι μὴ ἐπιγέλα, κοινὴ γὰρ ἡ τύχη.

(Chilon, Stob. CXII. 11.)

— Ἀτύχημα καὶ ἀδίκημα διαφορὰν ἔχει,
τὸ γὰρ διὰ τύχην γίγνεται, τὸ δ' αἱρέσει.

(Men. Meineke, v. IV, p. 198.)

Δυσπραγοῦντα μὴ ὀνείδιζε, ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν.

(Thales.)

Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

(Periander.)

. . . εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ' αὔχει· καὶ σύ τοι πράξειας ἄν.

(E. Androm. 462 sq.)

Ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' οὕνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.

(A. Prom. Vinct. 345 sq.)

Εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει,
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

(Men. Meineke, v. IV, p. 183.)

Εὗρες δέ γ' ἄλλους ἐν κακοῖσι μείζοσιν.

(E. Hercul. Fur. 1239.)

Καὶ δυστυχούντων εὐμαρὴς ἀπαλλαγή.

(A. Suppl. 338.)

Μὴ τίκτειν σ' ἄταν ἄταις.

(S. Electra 235.)

Μικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα.

(Plutarch.)

Μυρίαι δ' ἀτυχημάτων ὁδοί.

(Libanius, Or. 1.)

. . . ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα·
. . . ὁ μὲν ὢν γὰρ πένης
πτωχότερον αὐτοῦ καταμαθὼν
ἤδη τὴν πενίαν ῥᾷον φέρει,
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὰς αὐτοῦ συμφορὰς ἧττον στένει.

(Timocles, Meineke, v. IV, p. 111 sqq.)

Οἱ δυστυχεῖς γὰρ τοῖσιν εὐτυχεστέροις,
αὐτοὶ κακῶς πράξαντες, οὐ φρονοῦσιν εὖ.

(E. Iphig. T. 352.)

Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.

(E. Hecub. 375 sq.)

. . . οὐ γὰρ οἱ κακῶς πεπραγότες
σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.

(E. Fr. Antigone, XVI.)

Οὐ θαῦμ' ἔλεξας, θνητὸν ὄντα δυστυχεῖν.

(E. Fr. Protesil. IV.)

Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενός.

(Men. Meineke, v. IV, p. 195.)

Οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ
λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.

(S. Philoctet. 1193 sqq.)

Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

(S. Fr. 581.)

Ταῖς ἀτυχίαις μήποτ' ἐπίχαιρε τῶν πέλας,
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.
(Men. incert. Meineke, v. IV, p. 264.)

Τὸν ἄδικον καὶ πονηρὸν ἄνδρα φημὶ ἄθλιον εἶναι.
(Plato.)

— Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία
νύξ ἐστιν.
(S. Fr. 377.)

Φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ,
ὅταν δ' ὁ δαίμων εὐροῇ πεποιθέναι,
τὸν αὐτὸν ἀεὶ δαίμον' οὐριεῖν τύχης.
(A. Pers. 598 sqq.)

Φεῦ, φεῦ, γέρων μέν εἰμ'· ὅμως δέ μοι θανεῖν
εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
(E. Hecub. 497 sq.)

Ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.
(S. Fr. incert. 684.)

Vide: *Amicitia:* Ἄφιλον, Τοιοῦτον, — *Desperatio:* Ὥστε μηδεὶς. — *Homo:* Μὴ σκυθρωπός, Ὦ δυστυχεῖν. — *Silentium:* Ἐν κακοῖσι. — *Vita:* Αἰσχρόν.

Miseratio, Misericordia (cf. Condolentia.)

Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
(Men. Monost. Meineke, v. IV, p. 341.)

. . . ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίνεται.
(Hom. Il. XXIV, 44, sq.)

Οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
(Hom. Od. XIV, 82.)

Οὔτ' ἐξ ἱεροῦ βωμὸν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.
(Phocion, Stob. I, 31.)

Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.
(E. Fr. Auge VIII.)

— Χαλεπόν ἐστιν ἐλεεῖν ἅμα καὶ φρονεῖν.
(Agesilaus.)

Ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ σ' ἐλεήσει,
οὐδέ τί σ' αἰδέσεται.
(Hom. Il. XXIV, 208 sq.)

Modestia (cf. Modus, Pudor, Frugalitas).

— Ἀμαθία μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετ' ἀκολασίας.
(Thucydid. 3.)

Ἐγὼ δ' οὐδὲν πρεσβύτερον
νομίζω τᾶς σωφροσύνας,
ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ σύνεστιν.

(E. Fr. incert. 11.)

Μάλ' εὐγενῆ τε καὶ τὸν αἰσχύνης θρόνον
τιμῶντα, καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ.

(A. Sept. Contr. Theb. 409 sqq.)

Στέργοι δέ με σωφροσύνα, δώρημα κάλλιστον θεῶν.

(E. Medea, 635.)

Τό σῶφρον δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται.

(Incerti auctoris.)

Φεῦ, φεῦ, τὸ σῶφρον, ὡς ἁπανταχῇ καλὸν
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς κομίζεται.

(E. Hippol. 431 sq.)

Modus (cf. Frugalitas, Sufficientia, Modestia, Cautio), Moderatio, Mediocritas, * Supra Modum, Supervacuitas.

— Ἀλλ' ἔγωγε τοῦ τὰ δέοντ' ἔχειν
τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γὰρ
τέρψις μὲν οὐκ ἔνεστι, πολυτέλεια δέ.

(Alexis, Meineke, v. III, p. 500.)

Ἀνὴρ σοφὸς φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

(Lucian.)

Ἄριστον μέτρον.

(Cleobul. ap. Stob.)

* Ἀρκεῖ μετρία βιοτά μοι σώφρονος τραπέζης,
τὸ δ' ἀκαίριον ἅπαν τόδ' ὑπερβάλλον τε μὴ προσείμαν.

(E. Fr. incert. 111.)

Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
ἀγαθὰ, τὰ λίαν ἀγαθά.

(Men. incert. Meineke, v. IV, p. 275.)

Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους.

(E. Fr. Alcmaeon, XIII.)

Δέδοιχ', ὅπως μοι μὴ λίαν φανῇ σοφή.

(E. Hippol. 518.)

. . . δεῖ
φεύγειν ἁπάντων τὰς ὑπερβολὰς ἀεί.

(Mnesitheus, Athen. X, 419.)

Εἴη δέ μοι μετρία μὲν
χάρις, πόθοι δ' ὅσιοι·

καὶ μετέχοιμι τᾶς Ἀφροδίτας,
πολλὰν δ' ἀποθείμαν.

(E. Iphig. A. 554 sqq.)

Εἴη δ' ἔμοιγε μέτρια μὴ λυπουμένῳ.

(E. Ion, 632.)

Εἴης μοι (ὦ Ἀφροδίτη), μέτριον δέ πως, εἴης,
μηδ' ἀπολείποις.

(E. Fr. incert. 62.)

*Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα γίγνοιτο.

(Epictet. Stob. XVII, 39.)

Ἐμοὶ δ' ἐξ ἀρχῆς τὸ πρᾶον καὶ μέτριον προσφιλές.

(Antonin. ap. Herodian.)

Ἐν πόλει μήτε ὡς λέων ἀνατρέφου, μήτε ὡς κωνώψ· τὸ μὲν ἐκπατεῖται, τὸ δὲ καιροφυλακεῖται.

(Metrodor. Stob. XLV, 26.)

Ἐπίσταται δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾶν
μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.

(E. Iphig. A. 920 sq.)

Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
ἰσότης ἔταξε, κἀριθμὸν διώρισεν.

(E. Phoen. 540 sq.)

Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.

(Pind. Nem. XI, 62.)

μάκαρες, οἳ μετρίας θεοῦ,
μετά τε σωφροσύνας μετέσχον
λέκτρων Ἀφροδίτας,
γαλανείᾳ χρησάμενοι
μαινομένων οἴστρων.

(E. Iphig. A. 543 sqq.)

* Μέθετον τὸ λίαν, μέθετον.

(E. Phoen. 584.)

Μέτρα φυλάσσεσθαι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

(Hes. Op. 692.)

Μέτριον νῦν ἔπος εὔχου.

(A. Suppl. 1060.)

Μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κύρσαι θνητοῖσιν ἄριστον.

(E. Fr. Mel. Vinct. XVII.)

ΜΗΔΕΝ ΑΓΑΝ.

(Solon.)

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων.

(Theognis. 402 sq.)

Μηδὲν ἄγαν σπεύδειν· πάντων μέσ' ἄριστα. καὶ οὕτως
Κύρν', ἕξεις ἀρετήν, ἥντε λαβεῖν χαλεπόν.

(Theognis, 335 sq.)

Μήτ' ἄναρκτον βίον,
μήτε δεσποτούμενον
αἰνέσῃς.
παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν.
(A. Eumenid, 526 sqq.)

Μοῖραν πᾶσι νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
(Phocyl. Admon. 130.)

Νήπιοι· οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
(Hes. Op. 40 sq.)

Ὁ δ' ἐν μέσῳ με λυπρὸς ὢν δάκνει χρόνος.
(E. Hercul. Fur. 94.)

Οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.
(Theognis, 614.)

Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται,
ὁ μέσος δὲ βίος δίκαιός ἐστιν.
(Sotad. Stob. CIII, 13.)

Οὐκ ἔραμαι πλουτεῖν, οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντα κακόν.
(Theognis, 1155 sq.)

— Οὕτω τὸ λίαν ἧσσον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν.
(E. Hippol. 264 sq.)

Πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον.
(Hippocrat.)

— Πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί.
(Phocyl. Admon. 65.)

Σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια.
(Hippocrat.)

Σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν.
(Hes. Op. 304.)

Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον,
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ,
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ·
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα
τῷ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης
μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν.
κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν.
ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.
(Tragic. Episod. Stob. CV, 51.)

Τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γὰρ
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἡτισοῦν.

(Alexis, Meineke, v. III, p. 502.)

Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι
κρεῖσσον· ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
ὀχυρῶς τ' εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν, τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνατοῖς.

(E. Medea, 123 sqq.)

Τὸ δὲ πολύ, κἂν ᾖ γλυκύ, μοχθηρόν.

(Ar. Fr. Suidas.)

— Τὸ λίαν φιλεῖν τοῦ μὴ φιλεῖν αἴτιον.

(Plutarch.)

Τὸ μηδὲν γὰρ ἄγαν ἄγαν μὲν πρέπει.

(Alpheus, Epigr.)

Χωλὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν
οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

(Callim. Epigr. 32.)

Ὡς ἡδὺ πᾶν τὸ μέτριον οὔθ' ὑπεργέμον.

(Alexid. Meineke, v. III, p. 481.)

Vide: *Laus:* Βαρύς, Παύσομαι. — *Vinum:* Ὅς δ' ἄν. — *Vita:* Ὅστις τοῦ.

Mollis, Lenis, Mitis.

Σπογγίας μαλακώτερον.

(Men. ap. Plutarch.)

Mora, Cunctatio (cf. Otium, Dilatio).

Κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.

(A. Agam. 1352 sq.)

. . . οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
. . . ἔτι γὰρ μέγα ἔργον ἄρεκτον.

(Hom. Il. XIX, 149 sq.)

Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.

(Hes. Op. 501.)

— Οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.

(S. Electra, 22.)

. . . οὐχ ἕδρας ἀκμή.

(S. Aias, 811.)

Τί δῆτα μέλλεθ', ἅπερ ἀναγκαίως ἔχει;

(E. Bacch. 1351.)

Τί ταῦτα στρέφει τεχνάζεις τε, καὶ πορίζεις τριβάς;

(Ar. Achar. 385.)

. . . τὸ μὲν μέλλειν κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.

(S. Electra, 1337 sq.)

. . . τὸ μὴ μέλλειν δ' ἀκμή.

(A. Agam. 1353.)

Φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.

(E. Electra, 320.)

Ὥρα 'στιν ἡμῖν οὐδὲ μελλονικιᾶν,
ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.

(Ar. Aves, 639 sq.)

Morbus, Aegritudo (cf. Medicina, Sanitas).

Αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι ἄλλοτ' ἐπ' ἄλλου
ἐρχόμεναι θνητῶν καὶ μεταβαλλόμεναι.

(Anthol. X, 68.)

Ἀλλ' ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

(E. Fr. incert. 78.)

. . . ἀνθρώποισι γὰρ νοσήματα
ἅπασίν ἐστιν.

(Ar. Thesmoph. 1116 sq.)

Δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός.

(E. Orest. 792.)

Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.

(E. Fr. incert. 41.)

Μία τῶν νόσων αἰτία· τῶν ἐδεσμάτων πολυειδία.

(Antiphan. Cl. Alex.)

Νόσον πολὺ κρεῖττόν ἐστιν, ἢ λύπην φέρειν.

(Philem. Meineke, v. IV, p. 63.)

Νόσοι δὲ θνητῶν αἱ μὲν εἰσ' αὐθαίρετοι,
αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
ἰώμεθ' αὐτάς.

(E. Fr. Belleroph. XXIII.)

Νοσούσαις ψυχαῖς οὐδὲν φάρμακον, πλὴν νόσος.

(Isocrat.)

Οἴμοι· τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακόν.

(S. Trach. 1230.)

Ὅλος ἄνθρωπος ἐκ τοῦ γενέσθαι νοῦσός ἐστιν.

(Democrit.)

Ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κήαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.

(A. Agam. 848 sqq.)

Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.

(S. Fr. Tyro, XII.)

. . . τὸ γὰρ
νοσοῦντι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος.

(S. Trach. 434 sq.)

Vide: *Divitiae:* Τί γάρ. — *Sermo:* Ἆρ' ἐστὶ. — *Somnus:* Ἀλέης. — *Stultitia:* Νοσοῦντος, Οἱ μέν.

Mordacitas.

Οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ·
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.

(S. Aias, 1118 sq.)

Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

(A. Fr. 322.)

Τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ.

(E. Hippol. 696.)

Mors (cf. Vita, Homo, Tempus, Sors, Fatum), Mortuus, *Mortalitas, Immortalitas.

Ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' ἀίδου,
πέσε δὲ ἀδόκητον καὶ δοκέοντα.

(Pindar.)

Ἀλλ' ἐπί τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή
ἔσσεται, ἢ ἠὼς, ἢ δείλης, ἢ μέσον ἦμαρ.

(Hom. Il. XXI, 110 sq.)

Ἀλλ' ἔστ' ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

(S. Fr. 626.)

. . . ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλὸν, οὐδ' ἐὰν μισῶν κυρῇς.

(S. Aias, 1344 sq.)

Ἀνδρὸς δὲ ψυχὴ, πάλιν ἐλθεῖν οὔτε λεϊστὴ,
οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

(Hom. Il. IX, 408 sq.)

. . . ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.

(E. Fr. Polyid. V.)

Ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρηκτοι δὲ μεληδόνες
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον
μέρος οἵ τ' ἀγαθοὶ, ὅστις τε κακός.

(Simonid. Schneidewin, Delectus, p. 393.)

Ἅπαξ θανόντος οὔτις ἔστ' ἀνάστασις.

(A. Eumenid. 648.)

. . . ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

(A. Fr. 127.)

Ἀπό μοι θανεῖν γένοιτ', οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

(Anacr. 60.)

. . . ἀργαλέον δὲ
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.

(Hom. Il. XV, 140 sq.)

Ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.

(A. Sept. Contr. Theb. 601.)

Βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι.

(Hom. Il. XV, 511 sq.)

— Βίου πονηροῦ θάνατος εὐκλεέστερος.

(A. Fr. 82.)

— Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστιν θνητῶν, ὅστις ἐξεπίσταται,
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

(E. Alcest. 785 sq.)

. . . γίγνωσκε δὲ,
ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.

(E. Alcest. 418 sqq.)

— Δοκῶ δὲ, τοῖς θανοῦσι διαφέρειν βραχὺ,
εἰ πλουσίων τις τεύξεται κτερισμάτων.
κενὸν δὲ γαύρωμ' ἐστὶ τῶν ζώντων τόδε.

(E. Troad. 1248 sqq.)

— . . . ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας
ζῆν φημι μᾶλλον τοῦ βλέπειν τοὺς μὴ καλῶς.

(E. Fr. Erechth. XI.)

Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

(Antiphan. Meineke, v. III, p. 148.)

Εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς
ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.

(E. Fr. Cresphont. XVI.)

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.

(Simonid. Schneidewin, Delectus, p. 406.)

Ἐπὰν ἐγγὺς θάνατος ἔλθῃ,
οὐδεὶς ἑαυτῷ ὃ θέλει βουλεύεται·
θνήσκει δ' ὁ θνήσκων κατ' ἰδίαν εἱμαρμένην.

(Philem. Meineke, v. IV, p. 47.)

Ἐπεὶ γὰρ ἀποθνήσκειν ἀνάγκη γίγνεται,
τὸ προῖκ' ἀποθανεῖν ἐστι φανερὰ ζημία.

(Antiphan. incert. Meineke, v. III, p. 150.)

Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γὰρ, ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν.

(Polyaenus, Stob. CXXIV, 31.)

Ἔστιν ὁ λιμὴν πάντων ὁ θάνατος.

(Arrhian.)

— Εὖ εἰδώς, ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,
τερπόμενος θαλίῃσι· θανόντι τοι οὐδὲν ὄνησις.

(Chrysipp. Athen. VIII. 336.)

Ἔχει πότμος νιν, ὥστ' ἀπηλλάχθαι πόνων.

(E. Troad. 270.)

Ἐχρῆν γὰρ ἡμᾶς, σύλλογον ποιουμένους,
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας, εὐφημοῦντας ἐκπέμπειν δόμων.

(E. Fr. Cresphont. XIII.)

— Ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος,
τὸ μὴ γενέσθαι δ' ἐστίν, ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα.

(A. Fr. 384.)

Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.

(Men. Monost. Meineke. v. IV, p. 345.)

— Ζῶμεν ἀλογίστως, προσδοκῶντες μὴ θανεῖν.

(Men. Monost. Meineke. v. IV, p. 345.)

*—*Ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές.

(Moschion, Stob. CXXV, 4.)

Ἥδιστος γάρ τοι θάνατος
ξυνθνήσκειν θνήσκουσι φίλοις.

(E. Suppl. 1005 sq.)

— Ἡδὺ τἀποθνήσκειν ὅτῳ ζῆν μὴ πάρεσθ' ὡς βούλεται.

(Men. Meineke. v. IV, p. 288.)

— Ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.

(Men. Monost. Meineke. v. IV, p. 345.)

ΘΑΝΑΤΟΣ: Αἰώνιος ὕπνος· ἀνάλυσις σώματος·
ταλαιπωρούντων ἐπιθυμία· ἀπόλυσις πάντων·
πνεύματος ἀπόστασις· πλουσίων φόβος·
πενήτων παραλαλία· ἀληθινὴ προθεσμία.

Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς;
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;

(E. Fr. Antigone XVII.)

— Θανεῖν ἄρειόν ἐστιν ἢ ζῆν ἀθλίως.

(Philem. Meineke. v. IV, p. 63.)

— Θανεῖν μὲν οὐ
χρῄζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον.

(E. Heraclid. 1016 sq.)

Θανεῖν με δεῖ, κἂν μὴ θέλω,
τί δὲ τὸν βίον πλανῶμαι;

(Anacr. 25.)

Θανεῖν, πρὶν αἰσχῶν μὴ κατ' ἀξίαν τυχεῖν.

(Incerti auctoris.)

Θανόντος ἀνδρὸς πᾶς ἀπόλλυται χάρις.

(Stesichor. Stob. CXXVI, 5.)

Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.

(Men. Meineke, v. IV, p. 292.)

— Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

(E. Hecub. 377 sq.)

Θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν,
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.

(A. Pers. 818 sqq.)

Θνητὰ φρονεῖν χρὴ τὴν θνητὴν φύσιν,
τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας, ὅ,τι χρὴ τετελέσθαι.

(S. Fr. 515.)

Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι.

(Diphil. Meineke, v. IV, p. 426.)

Θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν.

(Men. Monost. Meineke, v. IV, p. 347.)

. . . καὶ τάδ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες γῆν· ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

(E. Fr. Hypsip. VI.)

Καὶ τίς θανόντων ἦλθεν ἐξ Ἅιδου πάλιν;

(E. Hercul. Fur. 297.)

Καλόν γ' ἀποθανεῖν, πρὶν θανάτου δρᾶν ἄξιον.

(Anax. incert. Meineke, v. III, p. 200.)

. . . κατθανεῖν δ' ὀφείλεται
καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.

(E. Fr. Aegeus, VI.)

Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.

(Hom. Il. IX, 320.)

Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

(Callimach. Anthol. 451.)

. . . κοῦφα σοι
χθὼν ἐπάνωθε πέσοι.

(E. Alcest. 463 sq.)

. . . κρεῖσσον γὰρ ἅπαξ θανεῖν,
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.

(A. Prom. Vinct. 750 sq.)

Λόγος μὲν ἔστ' ἀρχαῖος ἀνθρώπων φανείς,
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός.

(S. Trach. 1 sqq.)

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

(Solon, 21.)

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτὸν, ἀλλ' ὅτι ἀπέδωκα.

(Epict. Stob. CVIII, 79.)

Μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς.

(S. Fr. 520.)

Μὴ κλαῖε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ
τὰ δάκρυ' ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ.

(Men. Meineke, v. IV, p. 269.)

Μήτ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν. ἔθιζε,
ἀλλὰ γνῶθι μὲν, ὡς θανέειν πέπρωται ἅπασιν.

(Pythag. Stob. I, 15.)

. . . μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν.

(A. Sept. Contr. Theb. 684.)

Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ,
οὔτ' ἄν τι θύων, οὔτ' ἐπισπένδων ἄνοις,
οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται,
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.

(A. Fr. 147 sqq.)

Μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;

(E. Alcest. 1091.)

Νεκρὸν μαστίζεις.

(Plutarch. 9.)

Νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος.

(A. Pers. 712.)

Νῦν, ὦ γεραιὲ, ταῦτ' ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.

(S. Fr. 501.)

Ὁ δ' ἄφυκτος ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον
μέρος οἵ τ' ἀγαθοί, ὅστις τε κακός.

(Simonid. Cei, Schneidewin, Delectus, p. 393.)

. . . ὁ θάνατος δεινὸν κακόν.

(E. Iphig. A. 1416.)

— Ὅθεν δ' ἕκαστον ἐς τὸ σῶμ' ἀφίκετο,
ἐνταῦθ' ἀπῆλθε· πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ' ἐς γῆν· οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτὸ πλὴν ἐνοικῆσαι βίον,
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.

(E. Suppl. 532 sqq.)

— Ὁ δὲ θάνατος ἄδηλον μέν, εἰ φύσιν ἔχει τῆς ἀληθοῦς ζωῆς, τοῦ ζῆν ὑπό τινων ἀποτεθνηκέναι λεγομένου.

(Iuncus, Stob. CXXI, 35.)

Οἱ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες.

(Theocrit. XIII [XXI], 4.)

. . . ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.

(A. Agam. 928 sq.)

Ὄλωλεν ὡς ὄλωλεν, ἀλλ' ὅμως ἐμοῦ
ζώσης γ' ὄλωλεν, εὐτυχεστέρῳ πότμῳ.

(E. Troad. 626 sq.)

. . . ὁ νοῦς
τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ' ἔχει
ἀθάνατον εἰς ἀθάνατον αἰθέρ' ἐμπεσών.

(E. Helen. 1021 sqq.)

Ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεών.
ὡς τοῖς γε σεμνοῖς καὶ ξυνωφρυωμένοις
ἅπασίν ἐστιν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

(E. Alcest. 799 sqq.)

Ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;

(S. Antigone, 463 sq.)

Ὅστις δὲ θνητῶν θάνατον ὀῤῥωδεῖ λίαν,
μῶρος πέφυκε.

(Stob. CVIII, 12.)

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.

(Archiloch. Schneidewin, Delectus, p. 186.)

— Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.

(S. Electra, 1007 sq.)

Οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

(Solon, V, 9.)

Οὐδεὶς πώποτε
ἀπέθαν', ἀποθανεῖν πρόθυμος ὤν.
τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους
ἄκοντας ὁ Χάρων, εἰς τὸ πορθμεῖόν τ' ἄγει
σιτιζομένους καὶ πάντ' ἔχοντας ἀφθόνως.

(Antiphan. Meineke, v. III, p. 47.)

Οὐκ ἔστι βίος, ὃς οὐχὶ κέκτηται κακὰ,
λύπας, μερίμνας, ἁρπαγὰς, στρέβλας, νόσους·
τούτων ὁ θάνατος καθάπερ ἰατρὸς φανεὶς
ἀνέπαυσε τοὺς ἔχοντας ἀναπαύσας ὕπνῳ.

(Diphil. Meineke. v. IV, p. 418.)

Οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.

(E. Alcest. 1076.)

Οὐκ οἶδα πλὴν ἕν· κατθανεῖν ὅσον τάχος
τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.

(E. Hippol. 599 sq.)

Οὐκοῦν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;

(E. Fr. Pirithous. VIII.)

Οὐπώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν·
εἰς τὸν ἴσον δ' ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.

(Men. Meineke. v. IV, p. 187.)

— Οὐ ταὐτὸν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.

(E. Troad. 628 sq.)

. . . οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.

(S. Antigone. 1166 sq.)

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.

(Theognis. 1187 sq.)

Οὔτοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ·
οὐχ ὅστις ᾅδην ἐγγὺς ὄντ' οἰκτίζεται,
σωτηρίας ἄνελπις· ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει,
θνήσκει θ' ὁμοίως.

(E. Iphig. T. 484 sqq.)

Οὐχ' ὁ θάνατος δεινὸν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

(Aeschines, Stob. CXVIII, 25.)

Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα χάρυβδιν
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.

(Simonid. Cei, Schneidewin, Delectus, p. 392.)

Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.

(E. Orest. 1509.)

Πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει,
κοινὸς χῶρος ἅπασι· πένησί τε καὶ βασιλεῦσιν.

(Phocylid. ap. Stob. CXVIII, 9.)

Πάντες τῷ θανάτῳ τηρούμεθα καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

(Anthol. X, 85.)

Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος
μετρίως ἀλγεῖν σοφία μελετᾷ.

(E. Fr. Alexand. IV.)

Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ,
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται· κατθανεῖν ὀφείλεται.

(E. Androm. 1270 sqq.)

Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους·
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἣν πᾶσιν ἐλθεῖν ἐστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν· εἶτα χ' ἡμεῖς ὕστερον
εἰς ταὐτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

(Antiphan. Meineke, v. III, p. 29.)

Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶν τοῦ βίου ὁ θάνατος, κἂν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ.

(Democrit.)

Πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος,
ἀθάνατος ὁ θάνατός ἐστιν, ἂν ἅπαξ τις ἀποθάνῃ.

(Amphis, Athen. VIII. 336.)

Πρὸς τὸν τελευτήσανθ' ἕκαστος, κεἰ σφόδρα
ζῶν ἐχθρὸς ἦν τις, γίγνεται φίλος τότε.

(Dionys. Meineke, v. III, p. 555.)

Σπάνιον δ' ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,
κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ
τῆς εὐσεβείας.

(E. Fr. incert. 51.)

— Σῶμα μὲν ἐμοῦ τὸ θνητὸν αὖον ἐγένετο,
τὸ δ' ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα.

(Alexid. Meineke, v. III, p. 455.)

Τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.

(E. Alcest. 937 sq.)

— . . . τί δ' ἂν ἔχοι νεκρὸς
ἀγαθὸν, ὅπου γ' οἱ ζῶντες ἔχομεν οὐδὲ ἕν;

(Men. Meineke, v. IV, p. 117.)

— Τίς δ' οἶδεν, εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

(E. Fr. Phrix. XIV.)

— Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;

(E. Fr. Polyid. VII.)

Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφορεῖς,
ἃ μετ' ὀδύνης εἴασε κοὐκ ἐχρήσατο;

(Men. Meineke, v. IV, p. 270.)

Τὸ γὰρ θανεῖν ἐλευθεροῦ-
ται φιλαιακτῶν κακῶν.

(A. Suppl. 802 sq.)

. . . τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

(E. Heraclid. 595 sq.)

Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

(Ar. Fr. 390.)

Τοῖς μὲν τεθνεῶσιν ἔλεος, ἐπιεικὴς θεός,
τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατον, φθόνος.

(Timocles, Meineke, v. III, p. 611.)

— Τὸ ζῆν γὰρ ἴσμεν· τοῦ θανεῖν δ' ἀπειρίᾳ
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

(E. Fr. Phoenix. IX.)

— Τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας,
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

(S. Fr. 65.)

Τὸ θανεῖν γὰρ μετὰ πάντα.

(Anacr. 39.)

* Τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.

(S. Trach. 1173.)

. . . τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.

(S. Aias, 988 sq.)

Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει,
κοινὸν δ' ἔχοντες αὐτὸ, κοινὰ πάσχομεν
πάντες· τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών.

(E. Fr. Temenus. XV.)

Τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω,
τοῦ ζῆν δὲ λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν·
ἀλγεῖ γὰρ οὐδὲν τῶν κακῶν ᾐσθημένος.
ὁ δ' εὐτυχήσας εἰς τὸ δυστυχὲς πεσὼν
ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας,
κείνη δ' ὁμοίως ὥσπερ οὐκ ἰδοῦσα φῶς
τέθνηκε, κοὐδὲν οἶδε τῶν αὑτῆς κακῶν.

(E. Troad. 631 sqq.)

Τὸ μὴ θανεῖν δὲ δειλὸν, ἡδονὴ δ' ἔνι.

(E. Fr. incert. 172.)

Τὸν πεπαιδευμένον, ὥσπερ ἐκ συμποσίου, ἐκ τοῦ βίου εὐσχημονοῦντα δεῖ ἀναλύειν.

(Pythagor. Demoph. 13, Or. 1.)

Τὸν τετελευτηκότα μὴ κακολόγει, ἀλλὰ μακάριζε.
(Chilo, Stob. CXXV, 15.)

— Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ
γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.
(E. Fr. Meleagr. XX.)

Τὸν θάνατον τί φοβεῖσθε, τόν ἡσυχίης γενετῆρα;
τὸν παύοντα νόσους καὶ πενίης ὀδύνας;
μοῦνον ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέποτ' αὐτὸν
εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον.
(Agathias, Anthol. X, 69.)

— Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὰ νέρθε δ' οὐδέν· μαίνεται δ' ὃς εὔχεται
θανεῖν· κακῶς ζῆν κρεῖσσον ἢ θανεῖν καλῶς.
(E. Iphig. A. 1250 sqq.)

Ὑμεῖς δὲ πρέσβεις χαίρετ' ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.
(A. Pers. 840 sq.)

Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
(Mnesimach. Meineke, v. III, p. 579.)

Φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται, τὸ δὲ καλὸν αἰώνιον.
(Plutarch.)

Χαίρω τεθνάναι, κοὐκ ἔτ' ἀντερῶ θεοῖς.
(A. Agam. 539.)

Χρὴ δ' οὔποτ' εἰπεῖν ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.
(E. Androm. 100 sqq.)

Χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας
φύντ' εἰς γαῖαν, τὰ δ' ἀπ' αἰθερίου
βλαστόντα γονῆς εἰς οὐράνιον
πόλον ἦλθε πάλιν· θνήσκει δ' οὐδὲν
τῶν γιγνομένων, διακρινόμενον δ'
ἄλλο πρὸς ἄλλου
μορφὴν ἰδίαν ἀπέδειξε.
(E. Fr. Chrysipp. VI.)

Ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνᾳ μολεῖν ποτε;
(S. Philoctet. 797 sq.)

Ὦ θάνατε παιὰν, μή μ' ἀτιμάσῃς μολεῖν,
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός· ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.
(A. Fr. 229.)

Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται.
(Amphis, Meineke, v. III, p. 519.)

Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα δεῖ ποιεῖν καὶ διανοεῖσθαι.

(Marc. Antonin.)

Ὡς κρεῖττόν ἐστιν ἀποβάλλειν τὰ ὅπλα ἢ ἀποθανεῖν.

(Archilochus.)

Ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοὶ,
ὥσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

(A. Fr. 287.)

Vide: *Audacia:* Φεύγουσι. — *Fuga:* Οὔτις. — *Gratia:* Φεῦ. — *Hades:* Τόν. — *Ira:* Θυμοῦ. — *Pecunia:* Τἀργύριον. — *Senectus:* Τί κέρδος.

Mos, Consuetudo, *Mores (cf. Indoles).

Ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.

(Pind. Olymp. XIII, 16.)

* Δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν
πρὸ τοῦ λεγομένου τὸν βίον διασκοπεῖν.

(Apollodor. Stob. XLVI, 15.)

* Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλοὺς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

(Posidipp. Meineke, v. IV, p. 526.)

* Διάφοροι δὲ φύσεις βροτῶν,
διάτροποι δὲ τρόποις· ὁ δ' ὀρθὸς
ἐσθλὸν σαφὲς ἀεί.

(E. Iphig. A. 559 sqq.)

* Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.

(Men. Monost. Meineke, v. IV, p. 344.)

* Ἐγὼ μὲν τῷ λόγῳ βαρβαρίζω, ὑμεῖς δὲ τῷ τρόπῳ.

(Aristot. Stob. M. Flor. XVI, 45.)

* Ἕξεις τρόπῳ γενναιότητα.

(Bias.)

Ἐπικτητοὶ φύσεις τὰ ἤθη.

(Galen.)

Ἦθος ἄλλη φύσις.

(Prov.)

* Ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμὸν
καθ' ἑνὸς, τοσούτους ἔστι καὶ τρόπους ἰδεῖν.

(Phil. Meineke, v. IV, p. 32.)

Κατόπτρῳ μὲν ἐμφανίζεται τύπος τῆς μορφῆς καὶ τοῦ σώματος, ὁμιλίαις δὲ καὶ λόγοις τὸ τῆς ψυχῆς ἦθος χαρακτηρίζεται.

(Photius ap. Plutarch.)

* . . . καὶ γὰρ ἐν κακοῖσιν ὢν
ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις.

(E. Fr. Ino, III.)

* Καλὸν φέρουσι καρπὸν οἱ σεμνοὶ τρόποι.

(Men. Monost. Meineke, v. IV, p. 348.)

* Κυριωτάτην ἔχει πίστιν τὸ ἦθος.

(M. Antonin.)

Μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται.

(Prov.)

*Μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,
ὅ σ' ἐξεπαίρῃ μεῖζον, ἢ χρεὼν, φρονεῖν,
μηδ' ἄν τι συμβῇ δυσχερὲς, δουλοῦ πάλιν,
ἀλλ' αὐτὸς ἀεὶ μίμνε, τὴν σαυτοῦ φύσιν
σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί.

(E. Fr. incert. 170.)

Μήποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς
    ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον, ὅστις ἂν ᾖ.
πολλοὶ γὰρ, κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες,
    κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.

(Theognis, 963 sqq.)

* Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

(Antiphan. incert. Meineke, v. III, p. 151.)

Οἰκτρότατόν ἐστι, πεῖραν ἐπὶ γήρως ὁδῷ
ἀδίκου τύχης δίκαιος εἰληφὼς τρόπος.

(Men. incert. Meineke, v. IV, p. 264.)

Οἴμοι τάλας, ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις
λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένῃ.

(Antiphan. Meineke, v. III, p. 154.)

* Οὐδέν με λυπεῖ μᾶλλον, ἢ χρηστὸς τρόπος,
εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον.

(Men. incert. Meineke, v. IV, p. 263.)

* Σὺ μὲν παραινεῖς ταῦτα, ὅσσα σοι πρέπει,
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς λόγος,
εὖ ἴσθ' ἀκριβῶς, ὁ δ' ἴδιος πείθει τρόπος.

(Men. incert. Meineke, v. IV, p. 248.)

Τὸ ἦθος ἔθος ἐστὶ πολυχρόνιον.

(Plutarch. Moral.)

Τὸ γὰρ συνῆθες οὐδαμοῦ παροπτέον.

(Men. Meineke, v. IV, p. 85.)

. . . τρία γάρ ἐστι
δι' ὧν ἅπαντα γίγνετ'· ἢ κατὰ τοὺς νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ τὸ τρίτον ἔθει τινί.

(Men. incert. Meineke, v. IV, p. 114.)

* Τρόπος δίκαιος κτῆμα τιμιώτατον.

(Antiphan. Meineke, v. III, p. 150.)

* Τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου.
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω

λόγοις ταράσσων πολλάκις λυμαίνεται.

(E. Fr. Pirithous, VII.)

*Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.

(Men. Meineke, v. IV, p. 209.)

*Τῷ γένει βάρβαρος, ἀλλ' οὐ τῷ τρόπῳ.

(Anacharsis, Stob. LXVIII. 11.)

Motio, Motus.

Δός μοι, ποῦ στῶ, καὶ γῆν κινήσω.

(Archimedes.)

Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον.

(Theocrit.)

Μὴ κινεῖν Καμαρίνην, ἀκίνητος γὰρ ἄμεινον.

(Oraculum in Stephan. Byzanth.)

Μὴ κινεῖν κακὸν εὖ κείμενον.

(Chiliad.)

Μὴ κίνει χεράδας.

(Sappho, Schneidewin, Delectus, p. 306.)

Πάντα κάλων κινεῖν.

(Thucydid.)

Multum (cf. Omnis, Unus), Multitudo (cf. Populus).

— Ἀδύνατον ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας.

(Plato, Resp. I.)

— Ἀδύνατον πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν.

(Xen. Cyrop. 8.)

— Ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον.

(Prov.)

Καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω, τί λέξω.

(Eupol. Meineke, v. II, p. 466.)

— Κρεῖσσον ὀλίγ' ἐστι χρήματ' ἀνυπόπτως ἔχειν,
ἢ πολλὰ φανερῶς, ἀλλὰ μετ' ὀνείδους λαβεῖν.

(Men. incert. Meineke, v. IV, p. 263.)

Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον,
μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν.

(Men. Meineke, v. IV, p. 252.)

— Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

(E. Fr. Archel. XIV.)

— Ὀλίγους ἐπαινῶ μᾶλλον, ἢ πολλοὺς κακούς.

(E. Fr. Erechth. V.)

Παρὰ πολλῶν ἔστι πυθέσθαι τοῖς εἰδέναι βουλομένοις.

(Isocrat.)

Πολλαῖσι πληγαῖς στερεὰ δρῦς δαμάζεται.

(Diogen.)

— Πολλὰ αὐτὸς μιμεῖσθαι εὖ, ὥσπερ ἕν, ἀδύνατον.

(Plato.)

Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.

(Hom. Margit.)

— Πολλοὶ μὲν βούκεντοι, παῦροι δὲ γῆς ἀρήτορες.
(Prov.)

Πολλοὶ στρατηγοὶ Καρίαν ἀπώλεσαν.
(Prov.)

— Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι.
(Prov. Anthol. X, 106.)

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ,
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.
(S. Fr. incert. 675.)

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα.
(S. Fr. 712.)

Πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἄσκει.
(Plato.)

Συμφέρεται τὰ πολλὰ πολλοῖς.
(E. Hercul. Fur. 919.)

Τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.
(E. Hippol. 785.)

. . . τὸ πολὺ γὰρ δεινὸν κακόν.
(E. Iphig. A. 1357.)

Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν.
(Pythagor. Stob. I, 27.)

Mundus (cf. Vita), v. Terra.

Ἔσται γὰρ, ἔσται καινὸς αἰῶνος χρόνος,
ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
χρύσωπος αἰθὴρ, ἡ δὲ βοσκηθεῖσα φλὸξ
ἅπαντα τἀπίγεια καὶ μετάρσια
φλέξει μανεῖσα.
(Diphil. Cl. Alex. Str. V, 721.)

Musa, Musica.

Ἄφθονοι Μουσῶν θύραι.
(Prov.)

Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισιν.
(Theocrit. XVI [XV], 58.)

. . . Μέγας
θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε.
(Theophil. Meineke, v. III, p. 628.)

Μὴ κακούργει τὴν μουσικήν.
(Xenocrates.)

Μοῦσαι Μναμοσύνας θύγατρες.
(Arist. Paean. Stob. I, 12.)

Μοῦσαι Σειρήνων ἡδίους.
(Pythagor.)

. . . Μουσικὴν δ' ἄρα
ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.
(E. Fr.)

Musca.

Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν·
ἥτε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰσχανάᾳ δακέειν· λαρόν τέ οἱ αἷμ' ἀνθρώπου.

(Hom. Il. XVII, 570 sqq.)

Mutatio (cf. Vicissitudo).

Μεταβολὴ πάντων γλυκύ.

(Prov.)

Ξυνόντες γνώμαις ἑτέρων
μετεβάλλοντο τοὺς τρόπους.

(Ar. Vesp. 1460 sq.)

Ὁ λύκος τὴν τρίχα, οὐ τὴν γνώμην ἀλλάττει.

(Chiliades.)

Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.

(Men. Monost. Meineke, v. IV, p. 391.)

Τὸ μεταβάλλειν ἡδύ.

(Plato.)

Ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή,
ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.

(Men. Meineke, v. IV, p. 251.)

Φύσιν πονηρὰν μεταβάλλειν οὐ ῥᾴδιον.

(Men. Monost. Meineke, v. IV. p. 355.)

Χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Mutuum (cf. Aes alienum).

Ὅταν δανείζῃ τις πονηρῷ χρήματα
ἀνὴρ δίκαιος, ἀντὶ τῶν τόκων ἔχει
λύπας.

(Axinus, Meineke, v. III, p. 536.)

Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.

(Men. Monost. Meineke, v. IV, p. 354.)

Natura (cf. Homo), Indoles, Ingenium.

Ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα.

(S. Philoctet. 902 sq.)

Navigatio, Navis, Nauta, (cf. Mare).

— Ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

(Men. Monost. Meineke, v. IV, p. 359.)

Ἐν λιμένι πλεῖν.

(Meineke, v. III, p. 520.)

Οἱ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων, οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν,
λεπταῖς ἐπὶ ῥοπαῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραῤῥίπτοντες οἱ πολύφθοροι,
ἢ 'σωσαν, ἢ 'κέρδαναν, ἢ διώλεσαν.

(S. Fr. 499.)

Φεῦ, φεῦ, τί τούτου χάρμα μεῖζον ἂν λάβοις,
τοῦ γῆς ἐπιψαύσαντα, κᾆθ' ὑπὸ στέγῃ
πυκνῆς ἀκοῦσαι ψακάδος εὑδούσῃ φρενί;

(S. Fr. 563.)

Necessitas (cf. Paupertas).

Ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται.

(Men. Monost. Stob. Ecl. IV, 3.)

. . . ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.

(S. Antigone, 1106.)

Ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.

(E. Orest. 230.)

Ἅπαντας αὑτῶν κρείσσονας ἀνάγκη ποιεῖ.

(Men. Monost. Meineke. v. IV, p. 340.)

Δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

(E. Fr. Hypsip. VI.)

Δεινόν γε θνητοῖς ὡς ἅπαντα συμπίτνει,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν.

(E. Hecub. 846 sq.)

Διδάσκαλος οὐδεὶς κρείττων τῆς ἀνάγκης.

(Xenoph. Cyrop. II.)

. . . δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.

(Pythagor. Sent. Aur. 8.)

. . . ἐν γὰρ ἀνάγ-
καις οὐ κάμνει σύντροφος ὤν.

(E. Iphig. T. 1118 sq.)

. . . ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

(Theognis, 195 sq.)

. . . ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς ἀνάγκη,
ἣ ῥ' οὐδ' ἀθανάτους ὑποδείδιεν, οἵ τ' ἐν Ὀλύμπῳ
ἔκτοσθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.

(Philet. Eleg. Schneidewin, Delectus, p. 144.)

. . . κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.

(Hom. Il. VI, 458.)

Κρεῖσσον οὐδὲν ἀνάγκας
εὗρον· οὐδέ τι φάρμακον.

(E. Alcest. 965 sq.)

Λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος,
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

(E. Helen. 513 sq.)

Ὁσία δ' ἀνάγκη, πολεμιωτάτη θεός.

(Stob. Ecl. I, V, 2.)

Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,
σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

(E. Fr. incert. 80.)

Οὔ τ' ἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος.
χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.

(E. Fr. Teleph. X.)

Οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.

(Men. Monost. Stob. I. V, 2.)

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

(E. Fr. incert. XVIII.)

Ὁ φρόνιμος, ὥσπερ εἰς ὁδὸν, εἰς τὸν βίον οὐ τὰ πολλοῦ ἄξια συντίθησιν ἐφόδια, ἀλλὰ τὰ ἀναγκαιότερα.

(Socrat. Stob. III, 73.)

Πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.

(Euenus, Schneidewin, Delectus, p. 136.)

Πειθὼ καὶ Ἀνάγκη δύο θεοὶ μεγάλοι.

(Herodot. VII.)

Πολλοὺς δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγὼ,
ὅταν ἀτυχήσωσιν γεγονότας, οὐ φύσει
ὄντας τοιούτους.

(Men. incert. Meineke. v. IV, p. 254.)

Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.

(S. Fr. 234.)

Πρὸς τὴν ἀνάγκην πάντα τἆλλ' ἔστ' ἀσθενῆ.

(E. Fr. Belleroph. XV.)

. . . στεῤῥὰ γὰρ ἀνάγκη.

(E. Hecub. 1295.)

. . . σὺν δ' ἀνάγκῃ πᾶν καλόν.

(Pind. Fr.)

Τὰς τῶν θεῶν γὰρ ὅστις ἐκμοχθεῖ τύχας,
πρόθυμός ἐστιν, ἡ προθυμία δ' ἄφρων.
ὃ χρὴ γὰρ, οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.

(E. Hercul. Fur. 309 sqq.)

Τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μέγα.

(A. Prom. Vinct. 514.)

Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;

(A. Prom. Vinct. 515.)

Τὸ δὲ χρεὼν ἦν ἄφυκτον.

(Plutarch.)

Τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.

(A. Prom. Vinct. 105.)

Τὸ τῆς ἀνάγκης οὐ λέγειν, ὅσον ζυγόν.

(E. Fr. Lysim. V.)

. . . τῷ δ' ἀναγκαίῳ τρόπῳ
ὃς ἀντιτείνει, σκαιὸν ἡγοῦμαι βροτόν.

(E. Hercul. Fur. 283 sq.)

. . . φέρω
λόγους ἀτερπεῖς, ἀλλ' ἀναγκαίους κλύειν.

(E. Electra, 293 sq.)

Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα ἀναγκαῖα.

(Epicur.)

Χρεία δ' ἀνάγκης οὐκ ἀπῴκισται πολύ.

(Men. Meineke, v. IV.)

Χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν
Καρχηδόνιον.

(Men. Meineke, v. IV, p. 146.)

. . . χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.

(Hom. Il. X, 118.)

Χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι;

(Aeschyl. ap. Plutarch. Or. II, 280.)

Neglegentia (cf. Labor).

Ἀμελοῦντα τοῦ ζῆν οὐκ ἔνεστ' εὐσχημονεῖν.

(Men. Monost. Meineke, v. IV. p. 358.)

Πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.

(S. Oed. Col. 1153.)

Nemesis (cf. Poena, * Dei Justitia).

Αἰεὶ δ' οὔ τι λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν,
αὐτοί; μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖθις· ἀναίτια ἔργα τίνουσιν
ἢ παῖδες τούτων, ἢ γένος ἐξοπίσω.

(Solon, Schneidewin, Delectus. p. 25.)

Ἀλλ' ἢν δίκαια δρῶ, δίκαια πείσομαι.

(E. Heraclidae, 424.)

Δίκα τοι, δίκα χρόνιος, ἀλλ' ὅμως
ὑποπεσοῦσ' ἔλαθεν, ὅταν ἔχῃ
τιν' ἀσεβῆ βροτῶν.

(E. Fr. Antiope, XV.)

. . . δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.

(Hes. Op. 215 sq.)

Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

(A. Fr. 267.)

. . . δράσαντι παθεῖν
τριγέρων μῦθος τάδε φωνεῖ.

(A. Choëph. 313 sq.)

Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ,
δίκας δ' ἐξέλαμψεν ὅσιον φάος.

(S. Fr. 11.)

Εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβάς ἔστι καρποῦσθαι βροτοῖς.

(Men. incert. Cl. 206.)

Ἔκανές γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.

(A. Choëph. 930.)

Ἐκ τῶνδ' ἀνάγκας ἄτερ
δίκαιος ὢν οὐκ ἄνολβος ἔσται·
πανώλεθρος δ' οὔποτ' ἂν γένοιτο.
τὸν ἀντίτολμον δέ φαμι παρβάταν
τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης
βιαίως ξὺν χρόνῳ καθήσειν,
λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας.

(A. Eumenid. 550 sqq.)

Ἓν ἐπίσταμαι μέγα,
τὸν κακῶς τι δρῶντα
δεινοῖς ἀνταμείψασθαι κακοῖς.

(Archiloch. Schneidewin, Delectus, p. 186.)

Ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικε.

(Pind. Nem. IV, 51.)

Ἔπραξε δεινά, δεινὰ δ' ἀντέδωκέ σοι
καὶ τῷδ'· ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.

(E. Electra, 957 sq.)

Ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα.

(Hes. Op. 254.)

Ἰὼ δίκα καὶ θεῶν παλίρρους πότμος,
ἦλθες χρόνῳ μὲν οὗ δίκην δώσεις θανὼν,
ὕβρεις ὑβρίζων εἰς ἀμείνονας σέθεν.

(E. Hercul. Fur. 739 sq.)

Καθάπερ οὖν ἐπὶ τῆς θείας τάξεως ἡ πρόνοια καὶ ἀνάγκη τέτακται, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀνθρώπων τέτακται ἡ Δίκη.

(Stob. Ecl. I, IV, 52.)

Καὶ γὰρ τίσις τῶνδ' ἐστὶ τοῖς τε νερτέροις
καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις.

(E. Helen. 1013 sq.)

Μόνη 'στιν ἀπαραίτητος Δίκη.

(Stob. Ecl. I, IV, 52.)

Νέμει τοι δίκαν θεὸς, ὅταν τύχῃ·
σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω.

(E. Electra, 1169 sq.)

Οἴει σὺ τοὺς θανόντας, ὦ Νικήρατε,
τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ,
καὶ γῆν καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον

πεφευγέναι τὸ θεῖον ὡς λελυθότας;
ἔστιν Δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ.

(Philem. Meineke, v. IV, p. 67.)

Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

(Incerti auctoris, Stob. IX, 2.)

. . . ὁρῶ γὰρ ἐν χρόνῳ
Δίκην ἅπαντ' ἄγουσαν εἰς φάος βροτοῖς.

(E. Fr. Oedip. XVI.)

Ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι
οὐκ εὐθὺς, ἀλλὰ τῷ χρόνῳ μετέρχεται
τοὺς μὴ δικαίους, πρόφασιν εἰσακουσάτω.
εἰ μὲν γὰρ αὐτίκ' ἦσαν αἱ τιμωρίαι,
πολλοὶ διὰ φόβον, κοὐ δι' εὐσεβῆ τρόπον
θεοὺς σέβοιντ' ἄν· νῦν δὲ τῆς τιμωρίας
ἄπωθεν οὔσης τῇ φύσει χρῶνται βροτοὶ,
ὅταν δὲ φωρασθῶσιν ὀφθέντες κακοὶ,
τίνουσι ποινὰς· ὑστέροισιν ἐν χρόνοις.

(Theodect. Stob. Ecl. I. IV. 22.)

Ὅταν δ' ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ,
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα,
ἐπαίρεται γὰρ μεῖζον, ἵνα μεῖζον πέσῃ.

(E. Fr. incert. 181.)

Ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου
λεύσσων προσώπου πάνθ' ὅμως ἀεὶ βλέπει.

(Dionys. Stob. Ecl. I. IV. 11.)

Οὐ γάρ τις οὔτε χρημάτων ὑπεργεγὼς
νόμον μιαίνων ἀσφαλῶς γηράσκεται·
ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτέ,
τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο.

(Stob. Ecl. I, IV, 10.)

— Οὐ δεινὰ πάσχειν δεινὰ τοὺς ἐργασμένους.

(E. Fr. incert. 123.)

. . . οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἢ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.

(Solon. XIV, 15 sqq.)

Οὔτοι προσελθοῦσ' ἡ Δίκη σε — μὴ τρέσῃς —
παίσει πρὸς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν
τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ
στείχουσα μάρψει τοὺς κακοὺς, ὅταν τύχῃ.

(E. Fr. incert. 2.)

. . . οὐχ' εὕσει Διὸς
ὀφθαλμὸς, ἐγγὺς δ' ἐστὶ καίπερ ὢν πόῤῥω.

(Incert. Auct. Stob. Eclog. I, IV, 91.)

Ὃ χρὴ κολάζειν (sc. τὴν Δίκην) οἶδες, ἀλλ' οὐκ οἶσθα σύ,
ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς.

(E. Fr. Archel. XXXIX [Ed. Tauchn.].)

. . . ὄψει . . .
ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια.
μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν
ἔνερθε χθονὸς,
δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενί.

(A. Eumenid. 272 sqq.)

Παλαιγενῆ γὰρ λέγω
παρβασίαν ὠκύποινον·
αἰῶνα δ' ἐς τρίτον μένει.

(A. Sept. Contr. Theb. 742 sqq.)

. . . πρὸς δ' οἷον ἥξεις δαίμονα,
ὃς οὔτε τοὐπιεικὲς, οὔτε τὴν χάριν
ᾔδη, μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην.

(S. Fr. 709.)

. . . προσδόκα δὲ δρῶν κακῶς
κακόν τι πράξειν.

(E. Hercul. Fur. 727 sq.)

Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου,
δείκνυσι δ' ἡμῶν ὅστις ἔστ' ἢ μὴ κακός.

(E. Fr. Antiop. XVI.)

Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
καὶ τἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.

(A. Fr. 268.)

Τὸ χρύσεον δὲ τῆς Δίκης
δέδορκεν ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.

(S. Fr. Stob. Ecl. I, IV, 37.)

Ὦ θεοὶ, Δίκη τε πάνθ' ὁρῶσ', ἦλθές ποτε.

(E. Electra, 772.)

Nobilitas (cf. Generositas, Genus, Familia), * Ignobilitas.

Ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν', ὅτου τ' εἶ χὠπόθεν· τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.

(S. Fr. 91.)

Ἀλλ' εὐγενεῖς μέν, ἐν δὲ κιβδήλῳ τόδε.
πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσιν κακοί.

(E. Electra, 550 sq.)

Ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖς ἐμὲ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν,
ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους, ὅσοι.
οὐδὲν ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς, ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά,
κἂν Αἰθίοψ ᾖ, μῆτερ, ἐστὶν εὐγενής.
Σκύθης τις; ὄλεθρος. ὁ δ' Ἀνάχαρσις οὐ Σκύθης;

(Men. incert. Meineke, v. IV, p. 229.)

Γενναιότης σοι, καὶ τρόπων τεκμήριον
τὸ σχῆμ' ἔχεις τόδ', ἥτις εἶ ποτ', ὦ γύναι.
γνοίη δ' ἂν ὡς τὰ πολλά γ' ἀνθρώπου πέρι
τὸ σχῆμ' ἰδών τις, εἰ πέφυκεν εὐγενής.

(E. Ion, 237 sqq.)

Γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.

(Astydam. Stob. LXXXVI, 3.)

Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς,
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.

(E. Hecub. 379 sqq.)

Ἐγὼ μὲν οὖν οὐκ οἶδ', ὅπως σκοπεῖν χρεὼν
τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν
καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

(E. Fr. Melanipp. Vinct. XI.)

Ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα,
τὴν προστάταισι χρωμένην ἀναξίοις.

(Theodect. Stob. LXXXVI, 5.)

Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά·
ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνὴρ,
ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.

(E. Fr. Dictys, XI.)

Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

(E. Fr. incert. 37.)

Ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀῤῥύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς.

(Alexid. Meineke, v. III. p. 506.)

Ἐπίσταμαι δὲ πάνθ', ὅσ' εὐγενῆ χρεών,
σιγᾶν θ', ὅπου δεῖ, καὶ λέγειν, ἵν' ἀσφαλές·
ὁρᾶν θ', ἃ δεῖ, κοὐχ ὁρᾶν, ἃ μὴ χρεὼν,
γαστρὸς κρατεῖν δέ.

(E. Fr. Ino. III.)

Ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον.

(Men. Monost. Meineke, v. IV, p. 128.)

Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

(S. Electra, 989.)

* Ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον·
καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
ἄνολβά τ' εἰπεῖν.

(E. Iphig. A. 446 sqq.)

Ἡ εὐγένεια εὐκρασία ἐστὶ τῆς ψυχῆς τε καὶ τοῦ σώματος.

(Socrat. Stob. LXXXVI, 20.)

Μόνοι οἱ εὐεργέται εὐγενεῖς.

(Prov.)

Ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων,
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστὶν, ἐν δ' ἀλγύνεται,
φρενῶν δ' ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χεροῖν.
ὁ δ' οὐδὲν οὐδεὶς, διὰ τέλους δὲ δυστυχῶν,
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος
οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
οὕτως ἄμεινον, μὴ πεπειρᾶσθαι καλῶν.

(E. Fr. Belleroph. XX.)

Οὐδὲν γένους γένος γὰρ οἶμαι διαφέρειν,
ἀλλ' εἰ δικαίως ἐξετάσεις, καὶ γνήσιος
ὁ χρηστός ἐστιν, ὁ δὲ πονηρὸς καὶ νόθος.

(Men. Meineke, v. IV, p. 151.)

Οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
παρ' ἀγαθοῖσι δ' ἀνδρῶν.

(E. Fr. Alexand. XVII.)

Οὐχ ἡ πόλις σου τὸ γένος εὐγενὲς ποιεῖ,
σὺ δ' εὐγενίζεις τὴν πόλιν πράσσων καλῶς.

(Philem. incert. Meinecke, v. IV, p. 60.)

. . . πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

(E. Phoen. 442.)

Περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ
βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,
διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτοὺς,
ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν.
ἴδιον οὐδὲν ἔχομεν· μία δὲ γονὰ
τό τ' εὐγενὲς καὶ τὸ δυσγενές·
νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετὸν, ᾧ
θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.

(E. Fr. Alexand. XVI.)

Σεμνύνεσθαι μὲν, ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν ἐπ' εὐγενείᾳ οὐκ ἀπεικός ἐστιν.

(Phalaris, Stob. LXXXVI, 17.)

Τί γὰρ ὄφελος εὐγενείας, εἰ μὴ χρηστὸς καὶ φιλάνθρωπος συνοικεῖ τρόπος; τὰ μὲν τῆς τύχης δῶρα καὶ ἀναξίοις περιπίπτει· ἡ δὲ τῆς τύχης ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν.

(Ant. ap. Herodian.)

. . . τὸ δ' εὐγενὲς
πολλὴν δίδωσιν ἐλπίδ', ὡς ἄρξουσι γῆς.

(E. Fr. Ino, V.)

Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς
κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

(Men. Meineke, v. IV, p. 262.)

. . . φεῦ,
οὐκ ἔστ' ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν,
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν·
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸν μηδὲν ὄντα, χρηστά τ' ἐκ κακῶν τέκνα,
λιμόν τ' ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην τε μεγάλην ἐν πένητι σώματι.

(E. Electra, 367 sqq.)

Φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

(E. Fr. incert. 79.)

Φεῦ, τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ
πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.

(E. Fr. Danaë, V.)

Φεῦ, φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς,
τιμὴν ἔχει τίν', ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.

(E. Fr. Temenus, XIII.)

Nomen.

. . . ὄνομα αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
(Ar. Vesp. 492.)

Οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολλάκι τέρπει.
(Theocrit. XXVII [XXXII], 41.)

. . . ὃς γὰρ ἂν χρηστὸς φυῇ,
οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.
(E. Fr. Eurysth. V.)

. . . τί δ' ἐστὶ τὸ πλέον; ὄνομ' ἔχει μόνον.
(E. Phoen. 553.)

— . . . τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ.
(E. Helen. 730 sq.)

Τὸ δ' ὄνομα οὐ διαφέρει.
(Prov.)

. . . τοὔνομ' ἦς καλὸν μόνον·
τὰ δ' ἄλλα σιγῶ.
(E. Iphig. T. 36 sq.)

Χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλές
εἰς πάντα καιρὸν καὶ τύχης πᾶσαν ῥοπήν.
(Men. Meineke, v. IV, p. 178.)

Novacula (cf. Periculum).

Ξυρὸς εἰς ἀκόνην.
(Prov.)

Novus (cf. Vetus), v. Iuventus.

Ἅπας δὲ τραχύς, ὅστις ἂν νέον κρατῇ.
(A. Prom. Vinct. 35.)

— Ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι
(E. Medea, 78 sq.)

Παλαιὰ καινῶν λείπεται κηδευμάτων.
(E. Medea, 76.)

Τὰ καινά γ' ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
ἡδίον' ἐστίν.
(E. Cyclops, 250 sq.)

Nox (cf. Somnus, Dies, Tenebrae).

. . . Αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρή,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
(Hom. Od. XV, 392 sqq.)

Βαθύτεραι γὰρ νυκτὸς φρένες.
(Prov.)

Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
(Men. Monost. Meineke, v. IV, p. 344.)

Ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη,
τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.

(E. Fr. Meleagr. XXII.)

Νὺξ δ' ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.

(Hom. Il. VII, 293.)

Νὺξ μὲν ἀναπαύει, ἡμέρα δ' ἔργον ποιεῖ.

(Men. Monost. Meineke, v. IV, p. 351.)

Τοῖς γὰρ μεριμνῶσίν τε καὶ λυπουμένοις
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.

(Apollodor. Meineke, v. IV, p. 451.)

Nutritio (cf. Educatio).

. . . μηδὲ . . .
μνήσῃ κακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐννεοττοτροφήθης.

(Ar. Nub. 999 sq.)

Nuntius, Nuntiatio.

Ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.

(A. Choëph. 773.)

Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

(Hom. Il. XV, 207.)

Στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

(S. Antigone, 277.)

Ὦ μοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά.

(A. Pers. 253.)

Oboedientia (cf. Cessio, Oppositio, Iussum, Imperium).

Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.

(Hom. Il. I, 274.)

Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακὸν . . .
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.

(S. Antigone, 672, 676.)

Ἄρχων ἄκουε καὶ δικαίῳ κἀδίκῳ.

(Solon, XXV, 30.)

— Ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι,
ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος
τὰ πάντα.

(E. Fr. Syleus, VIII.)

Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὅδ' αὖ ἀχρήϊος ἀνήρ.

(Hes. Op. 293 sqq.)

. . . ἢν μὲν ἡγῶνται καλῶς,
πεισόμεθ'· ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.

(E. Iphig. A. 928 sq.)

. . . οὐκ εὖ πᾶσι πιθήσεις.

(Hom. Od. XXI, 369.)

Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ.

(A. Sept. Contr. Theb. 224.)

Πειστέον κ' εἰ μηδὲν ἡδύ.

(S. Oed. R. 1516.)

Oblivio (cf. Memoria).

Ἔνεστι γάρ τις ἐν λόγοισιν ἡδονή,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

(S. Fr. Thyest. 237.)

Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη· ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

(M. Ant. VII, 21.)

Ἔστι γὰρ λήθη μνήμης ἔξοδος.

(Plato, Phileb. p. 33.)

Ἔστι τὸ χαίρειν τῶν κακῶν λελασμένῳ.

(Astydam. Stob. CXX, 15.)

Μήθ' οἷς ἐχθαίρεις, ὑπεράχθου, μήτ' ἐπιλάθου.

(S. Electra, 177.)

Φάρμακον κακῶν ἀκεστήριον λήθη.

(Appian.)

Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

(E. Orest. 213 sq.)

Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

(S. Fr. 358.)

Obstinatio (cf. Arrogantia).

Ὃ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν
ἀλόγιστός ἐστι τῆς ἀληθείας κριτής.

(Men. Meineke. v. IV, p. 92.)

Occasio, Opportunitas, (cf. Tempus).

. . . καιρὸς γὰρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

(S. Electra, 75 sq.)

Καιρὸς ὁ τυχὼν ἐστιν ἀνθρώποις ἀεί·
πᾶσιν γὰρ οὐ πέφυκεν ἀνθρώποις ἴσος·
κέρδη γὰρ ἄλλοις χήδονὰς ἐρεύεται,
ἄλλοις δὲ λύπας προσπορίζει καὶ βλάβας.

(Men. Meineke, v. IV, p. 336.)

Καιρῷ λατρεύειν μήτ' ἀντιπνέειν ἀνέμοισιν.

(Phocyl. Admon. 113.)

— Χρόνος ἐστὶν ἐν ᾧ καιρὸς, καὶ καιρὸς ἐν ᾧ χρόνος οὐ πολύς.

(Hippocrates.)

Occultatio (cf. Manifestatio, Arcanum).

Αλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν.

(S. Oed. Col. 755.)

Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας, ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.

(E. Fr. Oedip. XIV.)

. . . ἐν σοφοῖσι γὰρ
τάδ' ἐστὶ θνητῶν· λανθάνειν τὰ μὴ καλά.

(E. Hippol. 466.)

Κἂν σφόδρα σαφῶς εἰδῇς τι, τὸν κρύπτοντά σε
μηδέποτ' ἐλέγξῃς· δύσκολον πρᾶγμ' ἔστι γάρ,
ἃ λανθάνειν τις βούλεται, ταῦτ' εἰδέναι.

(Men. incert. Meineke, v. IV, p. 248.)

Κρύπτειν ἀμαθίην κρέσσον, ἢ ἐς τὸ μέσον φέρειν.

(Heraclit. Stob. III, 82.)

. . . κρύψαι, Φειδία,
ἅπαντα τἆλλα τις δύναιτ' ἂν πλὴν δυοῖν,
οἶνόν τε πίνων, εἰς ἔρωτά τ' ἐμπεσών·
ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων
καὶ τῶν λόγων ταῦθ', ὥστε τοὺς ἀρνουμένους
μάλιστα τούτους καταφανεῖς ποιεῖ.

(Antiphan. Meineke, v. III, p. 139.)

Λύπη μέν, ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι.
εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς
κρύπτοντα, καὶ μὴ πᾶσι κηρύσσειν τάδε·
γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε.

(E. Fr. Kress. IV.)

Νομίζετε τῆς αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν.

(Isocrat.)

Οὐδεὶς σκότος γὰρ ὧδ' ἔχει μέλαν νέφος,
ὅστις κακῶν σῶν συμφορὰν κρύψειεν ἄν.

(E. Hercul. Fur. 1216 sq.)

Οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν
ἔστ', ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν.

(Men. Meineke, v. IV, p. 264.)

Οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄτιτον,
ἀλλὰ χρὴ κακόεργον ἀποτροπάασθαι ἀνάγκῃ.

(Phocyl. Admon. 125.)

Oculus.

. . . ὄμμα πανταχῇ διοιστέον κἀκεῖσε καὶ δεῦρο,
μὴ δόλος τις ᾖ.

(E. Phoen. 265 sq.)

Πολλὰ μὲν ὀφθαλμοὶ τῶν ἀνθρωπίνων ἠθῶν ἑρμηνεύουσι.

(Philostratus.)

Ὠτίων ὀφθαλμοὶ πιστότεροι.

(Prov.)

Odium (cf. Hostilitas, Amor).

Vide: *Oblivio:* Μήθ' οἷς. — *Virtus:* Νικᾷ.

Omnes (cf. Unus, Alius).

Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.

(Hom. Il. XIII, 729.)

Ἀλλ' οὔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν.

(Hom. Il. IV, 320.)

Ἐπὶ πᾶν ἐλθεῖν.

(Xen. Cyrop. III.)

— Οὔτε πάντα, οὔτε πάντῃ, οὔτε παρὰ πάντων.

(Chiliad. 399.)

Opinio (cf. Existimatio, Videri, Veritas).

. . . δοκεῖν δὲ τἀδόκητ' οὐ χρή, γέρον.

(E. Hercul. Fur. 92.)

. . . δόξαν γὰρ τόδ' ὑγιείας ἔχει,
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

(E. Orest. 235 sq.)

. . . ἡ δόκησις ἀνθρώποις κακὸν,
καὶ τοὐπιχειρεῖν ἐξαμαρτάνειν φιλεῖ.

(E. Fr. Auge, V.)

. . . ἡδὺ δ' ἐστὶ καὶ δοκεῖν.

(E. Troad. 678.)

Ἡ οἴησις προκοπῆς ἐγκοπή ἐστι.

(Prov.)

Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
    ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστὶ νόου βεβλαμμένος ἐσθλοῦ.

(Theognis, 221.)

Οὔτι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν.

(Thales.)

Πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι, δίκην παραβάντες.

(A. Agam. 788 sq.)

Πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ἀρέσκειν ζήτει.

(Isocrat.)

Ῥᾳστόν ἐστιν ἁπάντων ἑαυτὸν ἐξαπατᾶν· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκε.

(Demosth. Olynth. III, 12.)

. . . ταὐτὸ δ' οὐχὶ γίγνεται
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον.

(S. Trach. 425 sq.)

. . . Τὸ δοκεῖν
καὶ τὰν ἀλάθειαν βιᾶται.

(Simonid. Schneidewin, Delectus, p. 400.)

Τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετέων ματαιοπονέει.

(Democrit. Sent. Aur. Or. I.)

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δ' ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

(Gnom. Pythag. Demophil. p. 64.)

Ὑμᾶς τοὺς ἑταίρους ἐλεῶ, ὅτι οἴεσθέ τι ποιεῖν μηδὲν ποιοῦντες.

(Plato, Sympos. 167.)

Ὦ δόξα, δόξα, μυρίοισι δὴ βροτῶν
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
εὔκλεια δ' οἷς μέν ἐστ' ἀληθείας ὕπο,
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν.

(E. Androm. 319 sqq.)

Vide: *Audire:* Κλύειν. — *Sapientia:* Δεινὸν. — *Scientia:* Σάφ'. — *Tarditas:* Ὁρῶ. — *Veritas:* Ἡ ἀλήθεια, οὐ τὸ δοκεῖν.

Oppositio (cf. Cessio, Oboedientia).

. . . δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει.

(A. Prom. Vinct. 1009 sq.)

Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
ὁ μὴ 'ντιτείνων τοῖς λόγοις σοφώτερος.

(E. Fr. Protesil. II.)

Ὁρμώμενον δὲ μηδαμῶς μ' ἀντισπάσῃς.

(A. Prom. Vinct. 337.)

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάττεσθ'· εἰ δὲ μή, τἄνω κάτω
ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος.

(Men. Meineke, v. IV, p. 70.)

. . . ποτὶ κέντρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος.

(Pind. Pyth. II, 173 sqq.)

Πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.

(A. Agam. 1624.)

Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

(E. Fr. Peliad. IV.)

Πρὸς κέντρα κῶλον ἐκτενεῖς.

(A. Prom. Vinct. 323.)

Τελευτᾷ εἰς κακοδοξίην ὁ παρεκτεινόμενος τῷ κρείσσονι.

(Diog.)

Τοῖς δὲ ἀνθισταμένοις καὶ μὴ καταπίπτουσι, κουφότερα γίγνεται τὰ κακά.

(Dionys. Halic. Stob. CXXIV, 40.)

Opportunitas (cf. Occasio).

Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.

(Men. Monost. Meineke, v. IV. p. 340.)

Μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖς λαμβάνουσιν.

(Democrit. Sent. Aur. Or. I.)

— Πάντα γὰρ καιρῷ καλά· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.

(Isocrat.)

Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.

(A. Fr. Stob. IV, 21.)

Πολλῶν πάροιθε καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.

(A. Agam. 1372 sq.)

— Σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας τύχης,
καιρὸν λαβόντας, ἡδονὰς ἄλλας λαβεῖν.

(E. Iphig. T. 907 sq.)

Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.

(Men. Monost. Meineke, v. IV, p. 36.)

Χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.

(S. Oed. Col. 808.)

Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Opprobrium (cf. Culpa, Reprehensio).

Τὸ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται.

(Aeschines.)

Oraculum (cf. Augurium, Vaticinium).

Οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι.

(A. Agam. 1130.)

Oratio, v. Locutio, Eloquentia, *Orator.

Ἑσταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένῳ περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.

(Hom. Il. XIX, 79 sqq.)

. . . μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις.

(Schol. Aristoph. Meineke, v. II, 458.)

Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

(Hom. Il. IX. 443.)

Οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
ἀνδράσιν, οὔτε φυὴν, οὔτ' ἂρ φρένας, οὔτ' ἀγορητύν.
ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνὴρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν.
ἄλλος δ' αὖ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν,
ἀλλ' οὔ οἱ χάρις ἀμφιπεριστρέφεται ἐπέεσσιν.

(Hom. Od. VIII. 167 sqq.)

Οὐχ ἧττον δεῖ καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ἃ λέγοιεν.

(Agesilaus.)

Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως.

(Hom. Il. III, 214.)

Ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Σίγα, σιώπα, πρόσεχε τὸν νοῦν, χρέμπτεται γὰρ ἤδη,
ὥσπερ ποιοῦσ' οἱ ῥήτορες· μακρὰν ἔοικε λέγειν.

(Ar. Thesmoph. 381 sq.)

Τὴν παροιμίαν δ' ἐπαινῶ,
τὴν παλαιάν. ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ,
μὴ δάκῃ ῥήτωρ, ἀθρεῖν.

(Ar. Thesmoph. 528 sqq.)

Τῆς δὲ ῥητορικῆς φαντασίας κάλλιστον ἀεὶ τὸ ἔμπρακτον καὶ ἐναλῆθες.

(Longin. XV.)

Φεῦ, φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνὴν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν·
νῦν δ' εὐρόοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

(E. Fr. Hippol. XII.)

Ornamentum.

Κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγὼ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ, κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.

(A. Sept. Contr. Theb. 397 sqq.)

Osculum.

Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

(Theocrit. XXXII [XXVII], 3.)

Ovis (cf. Pastor.)

Αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.

(Hom. Od. XVII, 246.)

Κείρεσθαί μου τὰ πρόβατα βούλομαι, ἀλλ' οὐκ ἐπιξύρεσθαι.

(Dio Cass.)

Προβάτων οὐδὲν ὄφελος, ἂν ποιμὴν ἀπῇ.

(Aristoteles.)

Parasitus (cf. Adulatio.)

. . . κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ.
οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

(Alexis, Meineke, v. III, p. 502.)

Ὁ γὰρ παράσιτός ἐστιν, ἂν ὀρθῶς σκοπῇς,
κοινωνὸς ἀμφοῖν τῆς τύχης καὶ τοῦ βίου,
οὐδεὶς παράσιτος εὔχετ' ἀτυχεῖν τοὺς φίλους,
τοὐναντίον δέ· πάντας εὐτυχεῖν ἀεί.

(Antiphanes, Meineke, v. III, p. 45.)

Parentes (cf. Liberi, Pater, Mater).

Αὐτὸν γὰρ οὐδεὶς οἶδε, τοῦ ποτ' ἐγένετο·
ἀλλ' ὑπονοοῦμεν πάντες, ἢ πιστεύομεν.

(Men. Meineke, v. IV, p. 145.)

Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.

(Philem. Stob. Meineke, v. IV, p. 63.)

Δειναὶ γὰρ κατὰ γαῖαν ἐρίννυές εἰσι τοκήων.

(Orph.)

Δίκας γραφόμενος πρὸς γονεῖς μαίνῃ, τάλαν.

(Men. Meineke, v. IV, p. 290.)

Θεούς τε τιμᾶν, τούς τε φύσαντας γονεῖς.

(E. Fr. Antiop. XXXVIII.)

Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.

(Men. Monost. Meineke, v. IV, p. 347.)

Μὴ ἔριζε γονεῦσι, κἂν δίκαια λέγῃς.

(Pittac. Or. I, 148.)

Νόμος, γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.

(Men. Meineke, v. IV, p. 350.)

Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.

(E. Fr. incert. 175.)

— Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.

(E. Hercul. Fur. 1261 sq.)

Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει.

(S. Fr. 62.)

Τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
δίκας γέγραπται μεγιστοτίμου.

(A. Suppl. 707 sqq.)

— Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

(Isocrat. ad Demonactem.)

Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.

(E. Hecub. 403.)

. . . ὡς ἀληθὲς ἦν ἄρα
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα,
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

(E. Fr. Alcmaeon, VII.)

Parsimonia (cf. Sumptus, Avaritia, Prodigalitas).

Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
σκεπτόμεθα τἀναγκαῖ' ἑκάστης ἡμέρας·
ἂν δῇ δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φεισόμεσθ' ἐφόδια περιποιούμενοι;

(Men. Meineke, v. IV, p. 242.)

. . . κακὸν δὲ, χρημάτων ὄντων ἅλις,
φειδοῖ πονηρᾷ μηδὲν εὖ ποιεῖν βροτῶν.

(E. Fr. Ino, XVI.)

Λαμπρῶς γὰρ ἔνιοι ζῶσιν, οἷς χαλεπώτερον
τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον.

(Men. Meineke, v. IV, p. 272.)

Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν, ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.

(Democrit. Stob. XVI, 16.)

Πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι.

(Democrit.)

Ὦ τρὶς κακοδαίμων, ὅστις ἐκ φειδωλίας
κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας.

(Men. incert. Meineke, v. IV, p. 256.)

Partus, Parturire.

. . . τρὶς ἂν παρ' ἀσπίδα
στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.

(E. Medea, 250 sq.)

Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν.

(Prov.)

Ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν.

(Athen. XIV, 616.)

Parvitas (cf. Magnitudo), Paucitas (cf. Multitudo).

Αἰεὶ τοῖς μικκοῖς μικκὰ διδοῦσι θεοί.

(Callimach.)

Ἐὰν θαυμάζῃς τὰ μικρά, πρῶτον μεγάλων ἀξιωθήσῃ, ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ.

(Epictet. Stob. V, 116.)

Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρὸν καταθεῖο,
καί θ' ἅμα τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

(Hes. Op. 359 sq.)

Ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

(S. Fr. 255.)

— Κἂν σμίκρ' ἔχει τις, μεγάλ' ἔχειν νομίζεται.

(E. Fr. Auge. X.)

Ναῦς ἡ μεγίστη κρεῖσσον, ἢ μικρὸν σκάφος.

(Stob. LVII. 3.)

Μὴ νεμέσα βαιοῖσι, χάρις βαιοῖσιν ὀπηδεῖ.

(Epigr. Anthol. IX. 984.)

Μὴ 'πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.

(Men. incert. Meineke, v. IV, p. 291.)

— Οἱ γὰρ ὀλίγων δεόμενοι πολλῶν οὐκ ἀποτυγχάνουσιν.

(Plutarch.)

Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός.

(Chaerem. Stob. CVIII, 4.)

— Πολλάκι δ' ἐξ ὀλίγης ἡδονῆς μέγα γίγνεται ἄλγος.

(Solon.)

Χείλεα μέν τ' ἐδίην' ὑπερῴην δ' οὐκ ἐδίηνε.

(Hom. Il. XXII. 495.)

— Ὧι ὀλίγον οὐχ ἱκανόν, τούτῳ γε οὐδὲν ἱκανόν.

(Epictet.)

Passio (cf. Cupiditas, Voluptas, Labor, Aerumnae).

Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

(Prov.)

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

(Epictet. Stob. I, 50.)

Ψυχῆς πᾶν πάθος. εἰς σωτηρίαν αὐτοῦ πολεμιώτατον.

(Pythagor.)

Ὡς ἡδύ μοι γέγονε τὰ πρότερον κακά.
εἰ μή ποτ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

(Philem. incert. Meineke, v. IV, p. 54.)

Pater (cf. Parens, Liberi, Filius).

— Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα,
πατέρα τε πρέσβυν, τήν τε κοινωνὸν γάμων.

(E. Hercul. Fur. 583 sq.)

— Ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι
τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι.

(E. Fr. Antigone. X.)

— Ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸν μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα.

(E. Electra, 369 sq.)

Ἡδὺ δὲ πατὴρ τέκνοισιν, εἰ στοργὴν ἔχοι.

(Philem. Meineke, v. IV, p. 63.)

Ἡδύ γε πατὴρ, φρόνησιν ἀντ' ὀργῆς ἔχων.

(Men. Monost. Meineke, v. IV, p. 359.)

Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι.

(Hom. Il. IV, 405.)

— Ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

(E. Fr. Alcmaeon, XIX.)

Καί ποτέ τις εἴπῃσι, πατρὸς δ' ὅγε πολλὸν ἀμείνων.

(Hom. Il. VI, 479.)

Καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

(E. Fr. Danaë, II.)

Μηδὲν ἀδύνατον πατέρα γιγνώσκειν, ὅτι
ὁ μέγιστ' ἀγαπῶν καὶ δι' ἐλάχιστ' ὀργίζεται.

(Men. incert. Meineke, v. IV, p. 262.)

. . . Νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.

(S. Trach. 1178.)

Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν
τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.

(Men. incert. Meineke, v. IV, p. 261.)

Ὅστις δ' ἄμικτον πατέρ' ἔχει νεανίας
στυγνόν τ', ἐν οἴκοις μεγάλα κέκτηται κακά.

(E. Fr. Melanippa Vinct. XXIV.)

Ὅστις φοβεῖται τὸν πατέρα κἀσχύνεται,
οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

(Timocl. Meineke, v. III, p. 612.)

Οὐδέποτ' ἀληθὲς οὐδὲν οὔθ' υἱῷ πατὴρ
εἴωθ' ἀπειλεῖν, οὔτ' ἐρῶν ἐρωμένῃ.

(Men. Meineke, v. IV, p. 262.)

Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

(E. Fr. Dictys, XV.)

Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρὶ,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.

(Men. Meineke, v. IV, p. 261.)

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρὸς,
πλὴν ἕτερος, ἂν ᾖ πλειόνων παίδων πατήρ.

(Men. Meineke, v. IV, p. 261.)

Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.

(E. Heraclid. 297 sqq.)

. . . παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
ἐς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

(E. Helen. 941 sqq.)

Πᾶς πατὴρ μωρός.

(Men. Meineke, v. IV, p. 111.)

Πατὴρ δ' ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον.

(Men. Meineke, v. IV, p. 203.)

Πατρίους παραδοχὰς, ἅς θ' ὁμήλικας χρόνῳ
κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,
οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν εὕρηται φρενῶν.

(E. Bacch. 201 sqq.)

. . . πατρὶ πείθεσθαι χρεὼν
παῖδας, νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.

(E. Fr. Alope, V.)

Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

(E. Fr. Archel. XXXII.)

Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον, ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ ἐπιδάκνοντος.

(Socrat. Stob. LXXXIII, 22.)

Πρέπει γὰρ παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας πατρικῆς κληρονομεῖν.

(Isocrat.)

Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

(Antiphan. incert. Meineke, v. III, p. 152.)

Φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

(E. Fr. Dictys, XV.)

Φιλεῖ γὰρ αἷμα ταὐτὸν, οἷς ἂν ᾖ, πατρὸς,
τὰ πόλλ' ὅμοια σώματος πεφυκέναι.

(E. Electra, 522 sq.)

Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.

(S. Aias, 550 sq.)

Ὦ παῖ, πατρὸς δὲ μὴ παροξύνῃς φρένα.

(E. Alcest. 674.)

Ὡς ἡδὺ πρᾶος καὶ νεάζων τῷ τρόπῳ
πατήρ.

(Men. Meineke, v. IV, p. 276.)

Patientia (cf. Tolerantia).

Ἀδύνατον ὡς ἔστιν τι σῶμα τῆς τύχης·
ὁ μὴ φέρων δὲ κατὰ φύσιν τὰ πράγματα,
τύχην προσηγόρευσε τὸν ἑαυτοῦ τρόπον.

(Men. incert. Meineke, v. IV, p. 247.)

Ἀλγεινά, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.

(S. Fr. 521.)

. . . ἀλλὰ ταῦτα μὲν
φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.

(E. Alcest. 616 sq.)

Ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

(E. Fr. Alcmen. XI.)

. . . ἀλλ' ἀνάσχεσθ' ὠγαθοί,
καὶ προσταλαιπωρήσατ' ἔτ' ὀλίγον χρόνον.

(Ar. Lysistrat. 765 sq.)

Ἀνάσχου πάσχων· δρᾶν γὰρ ἔχαιρες.

(E. Fr. incert. 66.)

Ἄνδρα τὸν ἀληθῶς εὐγενῆ καὶ τἀγαθὰ
καὶ τὰ κακὰ δεῖ πταίοντα γενναίως φέρειν.

(Men. incert. Meineke, v. IV, p. 264.)

Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὁ μὲν κακῶς
πράττων τὸ λυποῦν ἦγαγ' εἰς παράστασιν·
ὁ δ' ἐμφρόνως δεξάμενος ἤνεγκεν καλῶς.

(Antiphan. Meineke, v. III, p. 55.)

Ἀνδρὸς, τὰ προσπίπτοντα γενναίως φέρειν.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἄνεχε, πάρεχε.

(Ar. Vesp. 1326.)

Ἀνέχου καὶ ἀπέχου.

(Epictet.)

Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν, ξένε·
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.

(Men. incert. Meineke, v. IV, p. 293.)

. . . ἀνθρώποισιν τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.

(S. Philoct. 1316 sqq.)

Ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.

(Hom. Il. XXIV, 549.)

. . . βαρὺ μὲν, οἰστέον δ' ὅμως.

(E. Helen. 268.)

— Δοκεῖ δέ μοι . . . χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά.

(Xenoph. Cyropaed. VIII, IV, 14.)

Ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν κακά.

(S. Philoctet. 538.)

Εἰ τὰ περὶ τοῖς ἄλλοισιν εἰδείης κακὰ,
ἄσμενος ἔχοις ἂν, Νικοφῶν, ἃ νῦν ἔχεις.

(Philem. Meineke. v. IV, p. 13.)

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου, εἰ δ' ἀγανακτεῖς,
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

(Pallad. Anthol. X, 73.)

Ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως·
τοῦτ' ἔστιν ἀνδρὸς νοῦν ἔχοντος· οὐκ ἄνω
ἀνασπάσαντα τὰς ὀφρῦς »οἴμοι« λέγειν·
ἀλλ' ὃς τὰ αὑτοῦ πράγματα ἐγκρατῶς φέρει.

(Men. Meineke, v. IV, p. 242.)

Ἓν ἐστι πάντων πρῶτον εἰδέναι τάδε,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
χοὖτός γ' ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
ἧσσον δάκνουσιν· ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.

(E. Fr. Oenom. III.)

Εὐτυχοῦντες οὐκ ἐπίστανται φέρειν.

(E. Suppl. 185.)

Ἔχεις μὲν ἀλγείν', οἶδα, πειρᾶσθαι δὲ χρὴ,
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

(S. Fr. 236.)

Ἔχεις μὲν ἀλγείν', οἶδα· σύμφορον δέ σοι,
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

(E. Helen. 252 sq.)

Κῆρα δ' ἐγὼ, τήν μοι θεὸς ὤπασε γεινομένῳ περ,
τλήσομαι, ἀκράαντα φέρων τετληότι θυμῷ.

(Hom. Epigr. 4.)

Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

(E. Medea, 1018.)

Μεγαλοψυχίη τὸ φέρειν πραέως πλημμέλειαν.

(Democrit. Sent. Aur. Or. I.)

Μεγαλόψυχός ἐστιν ὁ πάντα εὐπετῶς φέρων, μικρόψυχος δὲ, ὃς μὴ τὰ μικρά.

(Democrit.)

Μείνει δ' ἑκάστῳ τοὖθ', ὅπερ μέλλει παθεῖν.

(Men. Monost. Meineke, v. IV, p. 350.)

Μοχθεῖν ἀνάγκη. τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ' ἀνὴρ, οὗτος σοφός.

(E. Fr. Aeol. XI.)

α. Οἶδ'· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών.
β. Χρή· τοῦτο δ' εἰπεῖν ῥᾷον, ἢ φέρειν κακά.

(E. Fr. Alex. II.)

. . . οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας.

(E. Orest. 1023 sq.)

Οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.

(Men. incert. Meineke, v. IV, p. 227.)

Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ
ἀγαθῶν, ἀλόγιστός ἐστιν, οὔτοι μακάριος.

(Men. incert. Meineke, v. IV, p. 255.)

Ὅμως δ' ἀνάγκη, πημονὰς βροτοῖς φέρειν,
θεῶν διδόντων.

(A. Pers. 293 sq.)

Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.

(Men. Monost. Meineke, v. IV, p. 352.)

Ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόγως φέρει
τὸν δαίμον', οὗτος ἧσσόν ἐστ' ἀνόλβιος.

(E. Fr. Antigone, XV.)

Οὐδὲν πέπονθας δεινὸν, ἂν μὴ προσποιῇ.

(Men. Monost. Meinecke, v. IV, p. 360.)

Οὕτως ἄνανδρος γέγονας; οὐκ εὐψυχία
τοῦτ' ἔστιν, ὃ ποιεῖς νῦν γὰρ, ἀλλ' ἀνανδρία
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.

(Philem. Meineke, v. IV, p. 51.)

Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν.

(Men. incert. Meineke, v. IV, p. 291.)

— Πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.

(E. Fr. Protesil. V.)

Σοφοῦ γὰρ ἀνδρὸς, τὰς τύχας ὀρθῶς φέρειν.

(Alexis, Meineke, v. III, p. 499.)

Σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας
ἀγαθὰ, τὰ νῦν δ' ἔτ' ἐστί σοι κακὰ,
ὡς ἀνὰ μέσον που καὶ τὸ λοιπὸν δὴ φέρε.

(Men. incert. Meineke, v. IV, p. 227.)

Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.

(E. Phoen. 393.)

Τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν,
σοφὸν νομίζω, σωφρονεῖν τέ μοι δοκεῖ.

(E. Fr. Melanippa Vinct. XXVI.)

Τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.
τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ·
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθῷ τρόπῳ.

(Antiphanes, Meineke, v. III, p. 155.)

Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

(Hom. Od. XX, 18.)

Τλῆθ' ἄτλητα παθὼν τετληότι θυμῷ·
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

(Herodot. V, 56.)

Τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.

(Hom. Il. XXIV, 49.)

. . . τὸ δ' εὖ φέρειν
ἐστὶν τοιοῦτον, ἂν δύνῃ μόνος φέρειν,
καὶ μὴ 'πίδηλον τὴν τύχην πολλοῖς ποιεῖν.

(Men. incert. Meineke, v. IV, p. 254.)

Φρονοῦντος ἔστι ζημίαν πρᾴως φέρειν.

(Men. Monost. Meineke, v. IV, p. 361.)

. . . Ὧν δὲ μὴ τρόπος αἴτιος
τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.

(Men. Meineke, v. IV, p. 127.)

Ὡς πάντα δεινά κἀπικινδύνως βροτοῖς
κεῖται παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.

(S. Philoctet. 502 sq.)

Patria (cf. Exilium).

. . . ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

(E. Phoen. 358 sqq.)

. . . ἀλλ' ὅμως
οἰκτρός τις αἰὼν, πατρίδος ἐκλιπεῖν ὅρους.

(E. Fr. Aeol. XXIII.)

. . . ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς,
οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

(E. Fr. Phoenix, X.)

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

(Democrit. Stob. XXXX, 7.)

Ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος,
ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

(E. Fr. incert. 19.)

Ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος· ὁπλίζειν χέρα.

(E. Rhesus, 84.)

Ἔγνωκα δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
οἷον πατρῴας μὴ 'πολείπεσθαι χθονός.

(E. Medea, 34 sq.)

Εἰκὸς δὲ, παντὶ καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν.

(E. Fr. Temenus, V.)

Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.

(E. Fr. incert. 186.)

Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
ἧς γαίης, θανέειν ἱμείρεται (Ὀδυσσεύς).

(Hom. Od. I, 58 sq.)

Μεῖζον᾽ ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.

(S. Antigone, 182 sq.)

. . . μό-
χθων δ᾽ οὐκ ἄλλος ὕπερθεν, ἢ
γᾶς πατρίας στέρεσθαι.

(E. Medea, 649 sqq.)

Οἴκοι μένειν χρὴ γὰρ καὶ μένειν ἐλεύθερον.

(Men. Meineke, v. IV, p. 111.)

. . . οὐ γὰρ εὔχομαι
μιᾶς (πατρίδος)· ἅπας μοι πύργος Ἑλλήνων πατρίς.

(Plutarch. de Fuga, 600.)

Οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν, ὦ κέπφε, καθ᾽ ὅσον ἂν σθένω;

(Ar. Plut. 911 sq.)

Οὐχ εἷς πάτρα μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμᾶς ἐνδιαιτᾶσθαι πάρα.

(Crates Fr.)

Πατρὶς γάρ ἐστι πᾶσ᾽, ἵν᾽ ἂν πράττῃ τις εὖ.

(Plutarch. 1188.)

Πατρὶς καλῶς πράσσουσα τὸν εὐτυχοῦντ᾽ ἀεὶ
μείζω τίθησι, δυστυχοῦντα δ᾽ ἀσθενῆ.

(E. Fr. Philoctet. XII.)

Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;

(E. Fr. Aegeus, III.)

Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Φιλῶ τέκν᾽, ἀλλὰ πατρίδ᾽ ἐμὴν μᾶλλον φιλῶ.

(Plutarch.)

Ὦ ξεῖν᾽, ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τᾷδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

(Simonides, Epithaphium Trecentorum Thermopylis, Schneidewin, Delectus, p. 406.)

Ὡς ἔν γ᾽ ἐμοὶ κρίνοιτ᾽ ἂν οὐ καλῶς φρονεῖν,
ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους
ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται.

(E. Fr. Dictys, XIV.)

Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, ἠδὲ τοκήων
γίγνεται, εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.

(Hom. Od. IX, 34 sqq.)

Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

(E. Fr. Phaëthon, IX.)

Paupertas (cf. Divitiae, Miseria, Felicitas, Necessitas).

Ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν.

(Men. Meineke, v. IV, p. 160.)

Αἰσχυνόμενος αἴσχιστα πενίαν ἂν φέροις.

(Men. incert. Meineke, v. IV, p. 291.)

Αἰσχρὸν, γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα.

(Aristophanes, Meineke, v. III, p. 359.)

. . . ἀλλ' ἔχει νόσον
πενία, διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.

(E. Electra, 375 sq.)

Ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει,
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίνῃσι κακαὶ παρέχοντι μέριμναι·
κᾆν ὀλίγον νυκτός τις ἐπιψαύσῃσι τὸν ὕπνον,
αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι.

(Theocrit. XXI [XXII], 1 sqq.)

Ἀργαλέον πενία κακὸν ἄσχετον, ἃ μέγαν
δάμνῃ λαὸν ἀμαχανίᾳ σὺν ἀδελφεᾷ.

(Alcaeus Mityl. 62, Schneidewin, Delectus, p. 286.)

. . . ἆρ' οἶσθ', ὅτι τῆς πενίας ὅπλον
παῤῥησία; ταύτην ἐάν τις ἀπολέσῃ,
τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου.

(Nicostrat. incert. Meineke, v. III, p. 289.)

Γένοιτο κᾆν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.

(S. Fr. 718.)

Διὰ πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν πολλούς.

(Diog. Laërt. Stob. LXXXXV, 12.)

— Δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας
λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;
οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.
ἃ μὴ γάρ ἐστι τῷ πένηθ', ὁ πλούσιος
δίδωσ', ὃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
τοῖσιν πένησι χρώμενοι θηρώμεθα.

(E. Fr. Aeol. II.)

. . . εἰσὶ δ' οἵτινες
αἰνοῦσιν ἄνοσον ἄνδρ', ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

(S. Fr. 325.)

. . . ἐνδεέστερος γὰρ ὢν
ταπεινὸς ἔσται.

(E. Fr. Archel. XVIII.)

Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ, ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.

(Theognis, 393 sq.)

Ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.

(E. Fr. Erechth. XX, 16 sq.)

. . . ἔργον εὑρεῖν συγγενῆ
πένητός ἐστιν· οὐδὲ εἷς γὰρ ὁμολογεῖ
αὐτῷ προσήκειν τὸν βοηθείας τινὸς
δεόμενον· αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

(Men. Meineke, v. IV, p. 71.)

Εὐκαταφρόνητός ἐστι, Γόργια, πένης
κἂν πάνυ λέγῃ δίκαια. τούτου γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ' οὗτος, τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

(Men. Meineke, v. IV, p. 96.)

Κακὸν τὸ μὴ 'χειν· τὸ γένος οὐκ ἔβοσκέ με.

(E. Phoen. 405.)

— Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς,
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν ποιεῖ.

(Antiphan. incert. Meineke, v. III, p. 154.)

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει.
καὶ ζῆν γὰρ δοκέων ὡς νέκυς ἦν ὁ τάλας.

(Pallad. Anth. X, 63.)

Μηδέποτ' οὐλομένην πενίην θυμόφθορον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

(Hes. Op. 715 sq.)

Μήποτέ τοι πενίην θυμόφθορον ἀνδρὶ χολωθεὶς,
μήδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

(Theognis, 155 sqq.)

Μισῶ πένητα πλουσίῳ δωρούμενον,
ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.

(Men. incert. Meineke, v. IV, p. 267.)

Ξένους πένητας μὴ παραδράμῃς ἰδών.

(Men. Monost. Meineke, v. IV, p. 351.)

Ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με, μήτε πράγματα·
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

(Philem. incert. Meineke, v. IV, p. 35.)

Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

(Theognis, 1061 sq.)

— Οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοὶ, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
ἐς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά.

(E. Suppl. 240 sqq.)

Ὅστις πένης ὢν ζῇ, παραζῆν βούλεται,
ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

(Philem. incert. Meineke, v. IV, p. 56.)

— Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες ὡς οἱ πένητες τοὺς ἀτυχοῦντας οἰκτείρειν εἰώθασι· δεδιότες γὰρ περὶ αὐτῶν τὰς τῶν ἄλλων συμφορὰς ἐλεοῦσιν.

(Anaxim. Stob. LXXXXVII, 21.)

Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

(Xenoph. Cyr.)

Οὐδ' ἐμὲ, τὴν πενίην δὲ καθύβρισας, εἰ δὲ καὶ ὁ Ζεὺς
ἦν ἐπὶ γῆς πτωχὸς, καὐτὸς ἔπασχεν ὕβριν.

(Anthol. X, 302.)

Οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονεῖ.

(S. Fr. 718.)

Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν
δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία,
κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.

(E. Fr. Archel. IV.)

Οὐκ ἔστι Πενίας ἱερὸν αἰσχίστης θεοῦ.

(E. Fr. Archel. XIX.)

Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρὸν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος.

(Apollon. Lyc. Stob. LXXXXV, 9.)

— . . . πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε χὠ πένης ἴσον φέρει.

(E. Electra, 430 sq.)

Πένης λέγων τἀληθὲς οὐ πιστεύεται.

(Men. incert. Meineke, v. IV, p. 292.)

Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον·
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

(Diphil. Meineke, v. IV, p. 423.)

Πένητός οὐδέν ἐστι δυστυχέστερον.
ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κἀργάζεται,
ἵν' ἄλλος ἐλθὼν μεταλάβῃ καὶ κτήσηται.

(Men. Meineke, v. IV, p. 247.)

ΠΕΝΙΑ: Μισούμενον ἀγαθόν. ὑγιείας μήτηρ.
ἡδονῶν ἐμποδισμός. σοφίας ἀνεύρησις.
ἀμέριμνος διατριβή. ἄφθονον πρᾶγμα.
δυσαπόσπαστον κτῆμα. ἀζημίωτος ἐμπορία.
ἀνυπόπτευτος οὐσία. ἀψήφιστος οὐσία.

Πενία αὐτοδιδάσκαλος φιλοσοφία.

(Xenophon, Or. I, 18.)

Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

(Antiphanes, ap. Stob. LXXXXV, 1.)

Πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές.

(E. Fr. Polyid. X.)

Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

(Diphil. incert. Meineke, v. IV, p. 424.)

— Πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος.

(S. Fr. 681.)

Πενία διδάσκει γ' ἄνδρα τῇ χρείᾳ κακόν.

(E. Electra, 376.)

Πενία καθ' αὑτήν ἐστιν ἰσχυρὰ νόσος·
ἔρωτα προσλαβοῦσα δύο νόσους νοσεῖς.

(Men. Meineke, v. IV, p. 338.)

Πενία καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

(Arcesil. ap. Stob. LXXXXV, 17.)

— Πενίαν τ' ἄλυπον μᾶλλον ἢ πλοῦτον φέρειν.

(Men. incert. Meineke, v. IV, p. 252.)

Πενίαν φέρειν οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ.

(Men. Monost. Meineke, v. IV, p. 353.)

Πενίας γὰρ οὐδείς ἐστι μείζων πολέμιος.

(Diphil. incert. Meineke, v. IV, p. 424.)

Πενίην ἐπιεικέως φέρειν, σωφρονέοντος.

(Democr. Stob. CVIII, 70.)

— Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου· οὔτε οὖν πλούσιος ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.

(Democrit. Stob. LXXXXVII, 23.)

Πολλοὺς γὰρ ἐνίοθ' ἡ πενία βιάζεται
ἀνάξι' αὑτῶν ἔργα παρὰ φύσιν ποιεῖν.

(Timocl. Meineke, v. III, p. 609.)

— Πρόσεστιν ἄρα καὶ τῷ πένητ' ἀπιστία.
κἂν σοφὸς ὑπάρχῃ, κἂν λέγῃ τὸ συμφέρον,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.
τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος.
ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσ' ἀσφαλές.

(Men. Meineke, v. IV, p. 39.)

Πρὸς ἅπαντα δειλὸς ὁ πένης ἐστὶ πράγματα,
καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει·
ὁ δὲ μετρίως πράττων περισκελέστερον
ἅπαντα τἀνιαρά, Λαμπρία, φέρει.

(Men. Meineke, v. IV, p. 71.)

. . . πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε.

(Hom. Od. XIV, 57 sq.)

Πτωχότερος κίγκλου.

(Men. Meineke, v. IV, p. 132.)

Πτωχοῦ πήρα οὐ πίμπλαται.

(Prov.)

Πτωχῶν αὐλαὶ ἀεὶ κεναί.

(Prov.)

— Πτωχοῦ μὲν γὰρ βίος, ὃν συ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργοις προσέχοντα,
περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι, μηδ' ἐπιλείπειν.

(Ar. Plut. 552 sqq.)

— Σοφὸν δὲ, πενίαν τ' εἰσορᾶν τὸν ὄλβιον,
πένητά τ' ἐς τοὺς πλουσίους ἀποβλέπειν
ζηλοῦνθ', ἵν' αὐτὸν χρημάτων ἔρως ἔχῃ,
τά τ' οἰκτρὰ τοὺς μὴ δυστυχεῖς δεδορκέναι.

(E. Suppl. 176 sqq.)

Σώματα πολλὰ τρέφειν καὶ δώματα πόλλ' ἀνεγείρειν
ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

(Anthol. X, 119.)

Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν· ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

(E. Fr. Alcmaeon, X.)

Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
πενία; τί γὰρ τοῦτ' ἔστιν, ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας ἰατρὸς ῥαδίως;

(Men. Meineke, v. IV, p. 149.)

— Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς τίθεσθαι τοὺς λόγους· ὅταν δέ τις
λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνὴρ,
γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων.

(E. Fr. Danaë, XII.)

Χρὴ γὰρ ὅμως ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.

(Theognis, 179 sq.)

Χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει
ψεύδεά τ', ἐξαπάτας τ', οὐλομένας τ' ἔριδας
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν.
ἣ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

(Theognis, 388 sqq.)

Ὦ τλῆμον! ὥς σοι τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ' ὁ δαίμων, μέγα φρονοῦσι δ' οἱ λόγοι.

(E. Fr. Andromeda, XVIII.)

Ὦ τρισκακοδαίμων, ὅστις ἂν πένης γάμῃ
καὶ παιδοποιεῖται· ἀλόγιστός ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἄν, ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου,
ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν·
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
τὸ μέρος ἁπάντων, τῶν ἀγαθῶν δ' οὐδὲν μέρος·
ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν ἅπαντας νουθετῶ.

(Men. Meineke. v. IV, p. 192.)

Vide: ***Amicitia:*** Γιγνώσκεις, Πένητας. — ***Cupiditas:*** Σμικρά. — ***Desperatio:*** Ἐρῆμος. — ***Modus:*** Ὁ πένης. — ***Necessitas:*** Νικᾷ, Πολλοί. — ***Nobilitas:*** Πένης, Φεῦ οὐκ. — ***Parvitas:*** Ἀεί. — ***Pudor:*** Αἰδὼς δ' οὐκ.

Pax (cf. Bellum).

— Εἰρήνη γεωργὸν κἀν πέτραις
τρέφει καλῶς, πόλεμος δὲ κἀν πεδίῳ κακῶς.

(Men. Meineke, v. IV, p. 259.)

Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται.

(Thucyd. Stob. LIV, 24.)

Οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτό τ' αὐτοῖς πουλὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν, κοὐδὲ εἷς εὕρηκέ πω
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ
λέγουσι πάντα μᾶλλον, ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ
νῦν εὗρον· εἰρήνη 'στίν· ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου θεοῦ.

(Philem. Meineke, v. IV, p. 22.)

— Ὅσῳ . . πολέμου κρεῖσσον εἰρήνη βροτοῖς,
ἣ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη,
γόοισι δ' ἐχθρά, τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ· ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀναιρούμεσθα, καὶ τὸν ἥσσονα
δουλούμεθ' ἄνδρες ἄνδρα, καὶ πόλις πόλιν.

(E. Suppl. 488 sqq.)

Τἀληθὲς εἰρήνῃ φίλον.

(Philo.)

Τίκτει δέ τε θνατοῖσιν εἰράνα μεγάλα·
πλοῦτόν τε, μελιγλώσσων τ' ἀοιδᾶν ἄνθεα.

(Bacchyl. Schneidewin, Delectus, p. 442.)

Peccatum, Error, Culpa (cf. Nemesis, Poena).

Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα.

(Demosth. Stob. CVI, 13.)

Ἄκων δ' ἁμαρτὼν οὔ τις ἀνθρώπων κακός.

(S. Fr. Tyr. 582.)

Ἀλλὰ γὰρ πάντες πλείω ἐξαμαρτάνειν, ἢ κατορθοῦν.

(Isocrat.)

. . . ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε. θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

(Theognis, 327 sq.)

. . . ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται, μηδ' ἀκίνητος πέλει.

(S. Antigone, 1023 sqq.)

Ἐννοεῖς δὲ, ὡς σύμφυτον τὸ ἁμαρτάνειν ἀνθρώποις.

(Antipater.)

Ἔχε δὲ παραπλησίως πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σεαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας.

(Isocrat.)

Ἡ μὲν ἐσθὴς τὴν ἀῤῥυθμίαν, ἡ δ' εὔνοια τὴν ἁμαρτίαν περιστέλλει.

(Socrat. Stob. XXXVII, 27.)

Μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι ἁμαρτημάτων.

(Democr. Sent. Aur. Or. I, 7.)

Μόνη ἴασις ἁμαρτίας· ὁμολογεῖν τε ἁμαρτάνοντα, καὶ δηλὸν εἶναι ἐπ' αὐτῷ μεταγιγνώσκοντα.

(Arrhian.)

Ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.

(E. F. Oenom. I.)

Οὐ γὰρ ἔστιν, ὅπως ἡσυχάσουσιν ἁμαρτάνοντες.

(Aristides.)

Οὐδεὶς σύνοιδεν ἐξαμαρτάνων, πόσον
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ.

(Men. Meineke, v. IV. p. 202.)

Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν, οὔτε ἁμάρτημα χρόνῳ.

(Anton. Melissus, XVI, Or. I.)

Πάμπαν δ' ἄμωμος οὔτις.

(Simonid. Amorg.. Schneidewin, Delectus p. 198.)

Πεφύκασιν ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ οὐκ ἔστι νόμος, ὅστις ἀπείρξει τούτου.

(Thucydid. III, 45.)

Τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει, τὸ μὲν γὰρ ἀκούσιον ἁμάρτημα τῆς τύχης, τὸ δὲ ἑκούσιον τῆς γνώμης.
(Antiphon.)

Τὸ ἁμαρτάνειν αὐτούς, ἀνθρώπους ὄντας, οὐδὲν θαυμαστόν.
(Xen. Cyrop. Stob. V, 92.)

Pecunia (cf. Aurum, Divitiae, Lucrum, Avaritia).

Ἀπόλοιτο πρῶτος αὐτὸς
ὁ τὸν ἄργυρον φιλήσας·
διὰ τοῦτον οὐκ ἀδελφὸς,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
(Anacr. 46.)

Ἆρ' ἐστι λῆρος πάντα πρὸς τὸ χρυσίον,
μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ' ἀεὶ
τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι. .
(Antiphan. Meineke, v. III, p. 152.)

Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἐστι γενέσθαι τῶν δεόντων.
(Demosth. Olynth. 1.)

Ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν
εὖξαι τί βούλει; πάντα σοι γενήσεται·
ἀγρὸς, οἰκίας θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταὶ, μάρτυρες· μόνον δίδου,
αὐτοὺς γὰρ ἕξεις θεοὺς ὑπηρέτας.
(Men. incert. Meineke, v. IV, p. 233.)

Ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ.
τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται [φράττεται].
(Diphil. incert. Meineke, v. IV, p. 423.)

Λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα.
(E. Fr. incert. 154.)

Οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε· τοῦτο καὶ πόλεις
πορθεῖ· τόδ' ἄνδρας ἐξανίστησιν δόμων,
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς, πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν.
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν,
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
(S. Antigone, 295 sqq.)

Οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον,
καὶ χρυσός ἐστιν, ἀλλὰ κἀρετὴ βροτοῖς
νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.

(E. Fr. Oedip. IX.)

Τἀργύριον εἶναι, μειράκιόν, σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασχεῖν δυνατὸν, ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος δ' ἄλλου τινός.
ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' εἰ συναγάγης
τὰ Ταντάλου τάλαντ' ἐκεῖνα λεγόμενα,
ἀλλ' ἂν ἀποθάνης, ταῦτα καταλείψεις τισίν.
τί οὖν λέγω; μητ' αὐτὸς, εἰ σφόδρ' εὐπορεῖς,
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δέ γ' εὐτυχεῖν ἀεὶ
πάρεχε σεαυτὸν τοῖς παροῦσιν ἄξιον.

(Men. incert. Meineke. v. IV, p. 156.)

Τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει, τοῦτο μήδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

(Timocles incert. Meineke, v. III, p. 612.)

Τὸ τῆς Ἀμαλθαίας δοκεῖς εἶναι κέρας,
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτ' ἐὰν ἔχῃς, λέγε
πρὸς τοῦθ', ὃ βούλει, πάντα σοι γενήσεται·
φίλοι βοηθοί, μάρτυρες, συνοικίαι.

(Philem. Meineke, v. IV, p. 20.)

Perfidia v. Fides.

Peregrinatio (cf. Exsilium, Patria, Hospitalitas).

Ξενιτείη βίου αὐτάρκειαν διδάσκει, μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

(Democr. Stob. XXXX. 6.)

Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

(Pythag. Stob. IX, 37.)

. . . πολλά σε ζηλῶ βίου,
μάλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.

(S. Fr. 516.)

Periculum (cf. Experientia).

Δυοῖν κινδύνοιν ὑπερκειμένοιν ἀναγκαῖόν ἐστι θατέρου μετασχεῖν.

(Prov.)

Ἐκ τοῦ πηλοῦ πόδας ἔχεις.

(Prov.)

Ἐν παντὶ γάρ τοι σκορπιὸς φρουρεῖ λίθῳ.

(S. Fr. 35.)

. . . ἐς ἄντλον ἐμβήσει πόδα.

(E. Heraclides, 168.)

. . . μὴ τὰ κινδυνεύματα
αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν, οὔτε προστάτην χθονός.

(E. Fr. Antiope, XXXVI.)

Vide: *Charybdis*: Τὴν γάρ. — *Labor:* Φύσει. — *Magnitudo:* Μεγάλα. — *Modus*: — Τὰ μεγάλα. — *Poculum:* Πολλά. — *Spes:* Ἐλπίς.

Peritia, Experientia.

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

(Solon.)

Πεῖρά τοι μαθήσιος ἀρχά.

(Alcmani Carmina, Schneidewin, Delectus, p. 252.)

Φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται.

(A. Pers. 598 sq.)

Ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς συμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.

(S. Oed. R. 44 sq.)

Perseverantia (cf. Labor, Diligentia).

. . . πάντα γάρ,
ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα.

(Men. Meineke. v. IV, p. 276.)

Perspicuitas, Brevitas (cf. Perplexitas, Garrulitas).

Ἀγροῖκός εἰμι, τὴν σκάφην σκάφην λέγων.

(Meineke. Fr. incert. v. IV, p. 653.)

Ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ,
μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω.

(A. Agam. 628 sq.)

Μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.

(A. Eumenid. 420.)

Σοφὸν τὸ σαφές, οὐ τὸ μὴ σαφές.

(E. Incerto loco.)

Perversitas.

Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί,
καὶ δίκα, καὶ πάντα πάλιν στρέφεται.

(E. Medea, 410 sq.)

Philosophia, Philologia.

Κενὸς ἐκείνου φιλοσόφου λόγος, ἐφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται· ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος μὴ τὰς νόσους ἐκβαλλούσης ἀπὸ τῶν σωμάτων, οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν ἐκβάλλοι.

(Pythag. Stob. LXXXII. 6.)

Ληρεῖς, ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

(Meineke, Fr. incert. v. IV. p. 690.)

Οἱ μὲν φιλόλογοί εἰσιν, οἱ δὲ λογόφιλοι.

(Zeno.)

Οὐδὲ γὰρ φιλοσοφίαν ἀναιρετὸν, ἐπειδή τινες τῶν προσποιουμένων αὐτὴν πονηροὶ καταφαίνονται.

(Ptolem. L. i. quadripartit.)

Τίς οὖν ὕλη τοῦ φιλοσόφου; μὴ τρίβων; οὐκ, ἀλλὰ ὁ λόγος.

(Arrhian.)

Ὕστατον ἀποδύσεται τὸν τῆς κενοδοξίας χιτῶνα ὁ σοφός.

(Philo.)

Φιλοσοφία γάρ τοί ἐστιν χαρίεν, ἄν τις αὐτὴν μετρίως ἐν τῇ ἡλικίᾳ, ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίβῃ, διαφθορὰ τῷ ἀνθρώπῳ.

(Plato, Laches.)

Φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ,
πεινῆν διδάσκει, καὶ μαθητὰς λαμβάνει·
εἷς ἄρτος, ὄψον ἰσχὰς, ἐπιπιεῖν ὕδωρ.

(Phil. Meineke, v. IV, p. 29.)

Pictura.

Ζωγραφία μέν ἐστι φθεγγομένη ποίησις.

(Simonid. ap. Plut.)

Pietas.

Εὖ ἴσθ' ὅτ' ἄν τις εὐσεβῶν θύῃ θεοῖς,
κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας.

(E. Fr. incert. CCXVI [Ed. Tauchnitz.])

Pigritia (cf. Ignavia, Otium; Labor, Diligentia).

. . . Ἀέργοις αἰὲν ἑορτά.

(Theocrit. XVI [XV], 26.)

Ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα,
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων.

(E. Electra, 80 sq.)

Ἀργὸς δ' ὑγιαίνων τοῦ πυρέττοντος πολὺ
ἀθλιώτερος διπλάσια, διπλάσια γὰρ ἐσθίει μάτην.

(Men. Meineke. v. IV, p. 119.)

Ἀργὸς μὴ ἴσθ'· ἀνιαρὸν ἀργία.

(Pittacus.)

. . . εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις· κακοθημοσύνη δὲ κακίστη.

(Hes. Op. 469 sq.)

Πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.

(Phocyl. Admon. 144.)

Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων
χρηΐζων βιότοιο κακὰ προσελέξατο θυμῷ.

(Hes. Op. 496 sq.)

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή·
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

(S. Fr. 288.)

Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

(Hipponax, Schneidewin, Delectus, p. 211.)

Placere, v. Satisfactio.

Poculum, Calix (cf. Vinum, Potus).

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

(Pallad. Anth. X, 32.)

Τὰ δ' ἄλλα χαῖρε, κύλικος ἑρπούσης κύκλῳ.

(E. Fr. Cressae, XII.)

Poena (cf. Nemesis, Venia, Peccatum, Metus).

. . . ἔστι τοι καλὸν
τοὺς κακοὺς κολάζειν.

(E. Fr. Scir. V.)

. . . ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα,
τοὺς δ' ὄντας ἀδίκους τοῖσδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτύχει κακὸς γεγώς.

(S. Fr. 94.)

Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.

(Pythag. Stob. XXXXVI, 112.)

Ὁ πονηρὰ ποιῶν εὐθέως οὐκ αἴσθεται·
τότ' οἶδεν, ὃ πεποίηκεν, ὅτε κολάζεται.

(Phil. Meineke, v. IV, p. 336.)

Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

(Isocrat. Stob. XXXXVI, 25.)

Τί συνέχει τὸν τῶν ἀνθρώπων βίον; εὐεργεσία καὶ τιμὴ καὶ τιμωρία.

(Theophrast.)

Τῶν μὲν παρανομούντων κολαζομένων (τῶν δ' ἀδικουμένων βοηθείας τυγχανόντων) ἀρίστη διόρθωσις ἔσται τῶν ἁμαρτημάτων.

(Diodor. Sic. I.)

Χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην·
ὅστις πέρα πράσσειν τι τῶν νόμων θέλει,
κτείνειν· τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

(S. Electra, 1505 sqq.)

Poenitentia (cf. Providentia).

Ἡ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

(Men. Monost. Meineke, v. IV, p. 359.)

Μεταμέλεια ἐπ' αἰσχροῖσιν ἔργμασι βίου σωτηρίη.

(Democr. Sent. Aur. IX, Or. I, 80.)

. . . οὐδέ νιν μετάστασις
γνώμης ὀνήσει, θεῷ διδόντα νῦν δίκας.

(E. Androm. 1003 sq.)

Οὐκ ὠνοῦμαι μυρίων δραχμῶν μεταμέλειαν.

(Demosth. de Laide.)

— Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ ἄνδρα τὸν σοφόν.

(Epicharm. Stob. I, 14.)

Πρᾶττε ἀμεταμέλητα.

(Socrat. Stob. III, 33.)

Poësis, Poëta.

Ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν.

(Ar. Thesmoph. 159.)

Ἐλέγχ' ἐλέγχου· λοιδορεῖσθαι δ' οὐ θέμις
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.

(Ar. Ranae, 857 sq.)

— Ἴδμεν ψευδέα πολλὰ λέγειν ἐτύμοισιν ὅμοια,
ἴδμεν δ' εὖτ' ἐθέλωμεν ἀληθέα μυθήσασθαι.

(Hes. Theogon. 27 sq.)

Οἱ νῦν δὲ (ποιηταὶ) κισσόπλεκτα καὶ κρηναῖα καὶ
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασιν
ποιοῦσιν, ἐμπλέκοντες ἀλλότρια μέλη.

(Antiphan. Meineke, v. III, p. 121.)

Παῦσαι μελῳδῶν, ἀλλὰ πεζῇ μοι φράσον.

(Meineke, Fr. incert. v. IV, p. 650.)

Χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα,
ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.

(Ar. Thesmoph. 149 sq.)

Populus, Populares (cf. Multitudo, Plebs, Turba).

Δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχουσι προστάτας,
ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.

(E. Orest. 772 sq.)

Δεινὸν τὸ πλῆθος· ξὺν δόλῳ δὲ δύσμαχον.

(E. Hecub. 884.)

Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος,
μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς·
μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ,
μηδ' αὔξε καιροῦ μεῖζον· οὐ γὰρ ἀσφαλές,
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κώλυε δ' ἄνδρα παρὰ δίκην τιμώμενον,
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

(E. Fr. Plisthen. II.)

Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται, ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

(Solon.)

Ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.

(Men. Monost. Meineke. v. IV. p. 347.)

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.

(Theognis. 847 sq.)

Λαὸς γὰρ καὶ ὕδωρ καὶ πῦρ, ἀκατάσχετα πάντα.

(Phocyl. Admon. 91.)

Λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.

(Phocyl. Adm. 90.)

Ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον·
εἰ δ' ἡσύχως τις αὐτὸς ἐντείνοντι μὲν
χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσει'· ὅταν δ' ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥαδίως ὅσον θέλεις,
ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.

(E. Orest. 696 sqq.)

Οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν,
οὔτε καλήν· ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτο μὲν εὕροις.

(Cleanth. Clem. Alex. Strom. V, 655.)

Οὔτοι βεβαία γ' ἐστὶν εὔνοια λεώ.

(Incert. Auct.)

Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων ἔχει
ἐν τοῖς λογισμοῖς μὲν ἐπιδείξεις δυσκόλους,
ἐν τῷ δὲ πράττειν, ἂν λάβῃ τὸν καιρὸν εὖ,
ἀπροσδόκητον τὴν τύχην ἐξηύρετο.

(Men. Meineke. v. IV. p. 115.)

Τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι
ἀνωφελεῖς δέ, πλειόνων τ' ἐρῶσ' ἀεί·
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοί, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,

ἐς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά,
γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι·
τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ σώζει πόλεις,
κόσμον φυλάσσουσ', ὅντιν' ἂν τάξῃ πόλις.

(E. Suppl. 238 sqq.)

Ὦ δῆμε, καλήν γ' ἔχεις
ἀρχήν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ' ὥσ-
περ ἄνδρα τύραννον·
ἀλλ' εὐπαράγωγος εἶ
θωπευόμενός τε χαί-
ρεις, κἀξαπατώμενος
πρὸς τόν γε λέγοντ' ἀεὶ
κέχηνας· ὁ νοῦς δέ σου
παρὼν ἀποδημεῖ.

(Ar. Equit. 1111 sqq.)

Ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς, μήτε πιεζόμενος.

(Solon. Schneidewin. Delectus. p. 21.)

Potestas, Potentia, *Impotentia, *Impossibilis (quod fieri nequit).

Ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.

(S. Antigone. 92.)

Ἐμὲ δ' ἀδικείτω πλούσιος καὶ μὴ πένης.
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

(Men. Meineke. v. IV. p. 253.)

*Μὴ ἐπιθύμει ἀδύνατα.

(Prov.)

Μὴ νεῖκος, ὦ γεραιὲ, κοιράνοις τίθου.
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

(E. Fr. Dictys. XVIII.)

*Οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν·
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν·
οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον.

(Ar. Pax. 1083 sqq.)

Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη μεγάλας ἀπεργάζεται συμφοράς.

(Aeschin. Stob XXXXIII. 35.)

Σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον
φαυλοτέρας φρενὸς αὐτοκρατοῦς
ἑνός.

(E. Andr m. 481 sqq.)

. . . τὰ δ' ἀδύναθ' ἡμῖν καρτερεῖν οὐ ῥᾴδιον.

(E. Iphig. A. 1370.)

. . . τοῖς κρατοῦσι μὴ μάχου.

(E. Hecub. 404.)

*Τὸ τὰ ἀδύνατα διώκειν μανικόν.

(Marc Antonin.)

* . . . τε πολλῶν ἀδύνατ' ἄνδρας εἷς τοσούς.

(E. Helen. 811.)

Potus (cf. Sitis, Cibus), *Potator (cf. Vinum).

Κακαῖς ἐπιῤῥοαῖσι βορβόρῳ θ' ὕδωρ
λαμπρὸν μιαίνων οὔποτ' εὑρήσεις ποτόν.

(A. Eumenid. 694 sq.)

Praeco.

Vide: *Exaggeratio:* Πᾶσι. — *Felicitas:* Ἐπὶ τόν. — *Garrulitas:* Ἀεί.

Praesentia (cf. Absentia, Futurum, Praeteritum).

— Ἀπόντι μᾶλλον εὐχαριστίαν ποίει,
τῷ γὰρ παρόντι γίγνετ' εὐτονώτερον.

(Men. incert. Meineke, v. IV, p. 267.)

Τὸ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν, τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι;

(In Thaletem.)

Praeteritum (cf. Praesentia, Futurum tempus).

Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.

(E. Fr. Alex. I.)

Praetextus.

Ἄνευ προφάσεως οὐδὲν ἀνθρώποις κακόν.

(Men. Monost. Meineke, v. IV, p. 341.)

Προφάσεως δεῖται μόνον ἡ πονηρία.

(Aristot. Rhet. 2.)

Preces.

Εὔχετο δὲ πρὸς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα τἀγαθά ἐστιν.

(Xenoph. Mem. I, III, 2.)

Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
χωλαί τε, ῥυσσαί τε, παραβλῶπές τ' ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι.
ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
βλάπτουσ' ἀνθρώπους· αἱ δ' ἐξακέονται ὀπίσσω.
ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο,
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπῃ,
λίσσονται δ' ἄρα ταίγε Δία Κρονίωνα κιοῦσαι,
τῷ Ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.

(Hom. Il. IX, 502 sqq.)

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

(Anthol. Epigr. X. 108.)

Μὴ λιτάνευε, μὴ μάχου.

(Men. Meineke. v. IV, p. 83.)

Ὅμως δ' ἔχει τι σχῆμα κικλήσκειν θεοὺς,
ὅταν τις ἡμῶν δυστυχῆ λάβῃ τύχην.

(E. Troad. 470 sq.)

Ὅπου περ ἂν ἧς εὔχου, ναὸς εἶ.

(Incerti auctoris.)

Primus (cf. Initium), * Principatus.

* Ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι, ἢ δεύτερος ἐν Ῥώμῃ.

(Caesar.)

Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.

(E. Medea. 475.)

Καὶ πρῶτα μέν σε πρὸς τὰ πρῶτ' ἀμείψομαι.

(E. Suppl. 517.)

. . . πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων
οὐκ οἶδ', ὁποίου πρῶτον ἄρξομαι τὰ νῦν.

(E. Helen. 630 sq.)

Privatio.

— Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

(Xenoph. Cyrop. Stob. XV, 13.)

Probitas (cf. Bonum).

Ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι.

(Pittac. ap. Auson.)

Prodigalitas (cf. Parsimonia, Accumulatio).

Ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη.

(Zenodotus. Chil. 232.)

Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ.

(Chilon. Ant. Mel. Or. I. 170.)

— Μὴ δαπανᾶν παρὰ καιρὸν ὁποῖα καλῶν ἀδαήμων,
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

(Pythag. S. A. 37.)

Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον
τὸ καλῶς ἀκούειν ταχὺ ποιεῖ πεινῆν κακῶς.

(Men. Meineke. v. IV. p. 255.)

Proditio, Proditor.

Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

(A. Pers. 851.)

Τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.

(A. Prom. Vinct. 1068 sqq.)

Profanitas.

Ἀείσω συνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι.

(Pythag. Stob. XXXXI, 9.)

Ἑκάς, ἑκάς ὅστις ἀλιτρός.

(Callimach.)

Promissum, Promissio.

Μικρὰ διδόναι μᾶλλον ἢ μεγάλα ἐγγυᾶν· ὅ τε γὰρ κίνδυνος ἄπεστι, καὶ ὁ λαβὼν ἔργων, οὐ λόγου χρείαν ἔχει.

(Democr. Ant. Max. 136, Or. I, 120.)

Propinquitas, Vicinitas (cf. Distantia).

Γόνυ κνήμης ἔγγυον.

(Chiliad. 116.)

Providentia, Prudentia (cf. Poenitentia, Sapientia, Cautio, Temeritas).

Ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.

(Solon, IV, 67 sq.)

Ἆρ' ἔστιν ἀγαθῶν πανταπλείστων αἰτία
ἡ σύνεσις, ἂν ᾖ πρὸς τὰ βελτίω σοφή.

(Men. ap. Stob. III, 7.)

Δόξα καὶ πλοῦτος ἄνευ συνέσιος οὐκ ἀσφαλέα κτήματα.

(Democr. Sent. Aur. XXXXII, Or. I, 84.)

. . . ἡ πρόνοια δ' ἡ θνητὴ καπνὸς
καὶ φλήναφος.

(Men. Meineke, v. IV, p. 213.)

Καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.

(E. Phoen. 721.)

Καὶ τοῦτό μοι τἀνδρεῖον ἡ προμηθία.

(E. Suppl. 510.)

— Κρείσσων ἡ πρόνοια τῆς μεταμελείας.

(Dion. Halicarn.)

Ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει.

(Chaerem. Stob. III, 17.)

Οἱ φρόνιμοι μᾶλλον ὑπὸ τῶν ἀφρόνων, ἢ ἄφρονες ὑπὸ τῶν φρονίμων ὠφελοῦνται· οὗτοι μὲν γὰρ φυλάττονται τὰς ἐκείνων ἁμαρτίας, ἐκεῖνοι δὲ τὰς τούτων μὴ μιμοῦνται κατορθώσεις.

(Bias. Maxim. X, Or. I, 182.)

Ὃ μέλλεις ποιεῖν μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ.
(Pittacus.)

Ὁ πλεῖστον νοῦν ἔχων
μάντις τ' ἄριστός ἐστι, σύμβουλός θ' ἅμα.
(Men. Meineke, v. IV, p. 134.)

Ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ
ἔῤῥιψεν, ὅστις τόνδ' ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.
(E. Fr. Pirith. VI.)

Οὐ παντὸς ἀγαθοῦ τὴν πρόνοιαν αἰτίαν
κρίνειν ἂν ὀρθῶς ὑπολαβεῖν τίς μοι δοκεῖ,
ἀλλ' ἔστι ταὐτόματον ἐνίοτε χρήσιμον.
(Men. Meineke, v. IV, p. 211.)

Προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.
(S. Fr. 688.)

. . . προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.
(S. Electra, 1015 sq.)

Ὡς μακάριος φρόνησις ἐν χρηστῷ τρόπῳ.
(Diphil. incert. Meineke, v. IV, p. 425.)

Pudor, Verecundia (cf. Modestia), *Impudentia.

Ἀθανάτων μετὰ φῦλον ἴτον, προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις.
(Hes. Op. 197 sq.)

Αἰδοῦς δὲ καὐτὸς δυσκρίτως ἔχω πέρι·
καὶ δεῖ γὰρ αὐτῆς, κἄστιν αὖ κακὸν μέγα.
(E. Fr. Erechth. XII.)

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃς σαυτὸν αἰδεῖσθαι.
(Musonius, Stob. XXXI, 6.)

Αἰδὼ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.
(Hom. Od. XVII, 352.)

Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ,
ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος.
(S. Fr. 667.)

Αἰδὼς γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτούς.
(E. Fr. Temen. IV.)

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.
(Hom. Od. XVII, 347.)

Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.
(E. Fr. Cresph. XVIII.)

Αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.
(Hes. Op. 316.)

Αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
νικήσασα δίκην γῆν κάτα πᾶσαν ἔχει.
(Theognis, 219 sq.)

Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
(Hes. Op. 317.)

. . . ἀνὴρ γὰρ αἰσχρὸς αἰδεῖσθ' οὐ φιλεῖ. (E. Iphig. A. 380, Ed. Stiblin.)

. . . ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ. (E. Iphig. A. 380, Ed. Dind.)

*Ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ,
καὶ πρὸς τελευτὴν ἔρχεται τὴν τοῦ χρόνου.
πλὴν, ὡς ἔοικε, τῆς ἀναιδείας μόνον,
αὕτη δ' ὅσωπερ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ' ἡμέραν. (Theodect. Stob. XXXII, 6.)

Ἅπας ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ. (Men. Meineke, v. IV, p. 178.)

Ἀπερυθριᾷ πᾶς, ἐρυθριᾷ δ' οὐδεὶς ἔτι. (Men. incert. Meineke, v. IV, p. 294.)

. . . ἐν χρόνῳ ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. (A. Agam. 857 sq.)

Ἡ αἰδὼς ἀκρόπολίς ἐστι τοῦ κάλλους. (Theanus sive Demades.)

. . . ἡ γὰρ αἰσχύνη πάρος
τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται. (E. Heraclid. 200 sq.)

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται. (Theognis, 647 sq.)

Ὅμως δ' ὅσον γε δυνατὸν αἰδεῖσθαι χρεών. (E. Iphig. A. 997.)

*Ὃς δ' οὔτ' ἐρυθριᾶν οἶδεν, οὔτε δεδιέναι,
τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει. (Diphil. Meineke, v. IV, p. 422.)

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται. (Theognis, 409 sq.)

. . . οὐδέ οἱ αἰδὼς
γίγνεται, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν. (Hom. Il. XXIV, 44 sq.)

*Οὔτοι θράσος τόδ' ἐστιν, οὔτ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'. (E. Medea, 469 sqq.)

Ταμιεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη. (Men. Monost. Meineke, v. IV, p. 354.)

*Τοῖς ἀναιδέσιν βοηθεῖ γὰρ λόγοις τοῦθ' ἓν μόνον,
ἂν βραχεῖς αὐτοὺς ποιῇ τις, τόν τε καιρὸν εὖ λάβῃ. (Men. Meineke, v. IV, p. 115.)

Φρενῶν δ' ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χεροῖν.

(E. Fr. Belleroph. XX. 14.)

*. . . Ὦ μεγίστη τῶν θεῶν
νῦν οὖσ' Ἀναίδει', εἰ θεὸν καλεῖν σε δεῖ·
δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός.

(Men. Meineke. v. IV. p. 144.)

Ὦ πότνι' αἰδὼς, εἴθε τοῖς πᾶσιν βροτοῖς
ξυνοῦσα, τἀναίσχυντον ἐξῄρου φρενῶν.

(E. Fr. Hipp. IV.)

Vide: *Ipse:* Αἰδοῦ, Μάθε. — *Metus:* Ἵνα. — *Virtus:* Ποῦ, Ὦ φίλοι.

Puer (cf. Liberi, Filius, Pater).

Ἢ δέος, ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

(Euenus. Schneidewin. Delectus. p. 135.)

Παῖς πάντων θηρίων ἐστὶ δυσμεταχειριστότατον.

(Plato.)

Pulchritudo (cf. Facies, Forma, Femina).

— Δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.

(E. Fr. Chrysipp. III.)

Ἐγὼ γὰρ ἤμην ἐκπεπληγμένη φόβῳ,
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.

(S. Trach. 24 sq.)

— Καλὴ μὲν ὄψις, ἐν δὲ δείλαιαι φρένες.

(Phil. Meineke. v. IV. p. 9.)

Καλὴν γυναῖκ' ἐὰν ἴδῃς, μὴ θαυμάσῃς·
τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.

(Men. incert. Meineke. v. IV. p. 269.)

Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, οὐ κατέχει δέ,
ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.

(Epigr. incert.)

ΚΑΛΛΟΣ:	Φυσικὴ ζωγραφία.	Ἰδιόπλαστον ἀγαθόν.
	Ὀλιγοχρόνιον εὐτύχημα.	Εὐπαράλλακτον κτῆμα.
	Ἀνδρὸς ἀσελγοῦς ναυάγιον.	Ἀπαράμονον ἀγαθόν.
	Σεσαρκωμένη εὐτυχία.	Ἡδονῶν ὑπηρεσία.
	Ἄνθος μαραινόμενον.	Ἀνθρώπων παραμυθία.

(Orelli, I.)

Μορφὰ θηλυτέρῃσι πέλει καλὸν, ἀνέρι δ' ἀλκά.

(Bion.)

. . . ὀλίγον ἐστὶ τὸ καλὸν πανταχοῦ
καὶ τίμιον.

(Antiphan. Meineke. v. III. p. 33.)

Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος
χρηστὸς, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

(Men. Meineke, v. IV, p. 259.)

. . . οὐ γάρ ἐστιν ἀσφαλὲς
περαιτέρω τὸ κάλλος ἢ μέσως λαβεῖν.

(E. Fr. incert. 114.)

. . . οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.

(E. Androm. 207 sq.)

Σαπρὰν γυναῖκα δ' ὁ τρόπος εὔμορφον ποιεῖ·
πολύ γε διαφέρει σεμνότης εὐμορφίας.

(Philem. incert. Meineke, v. IV, p. 58.)

Τῶν πιθήκων εὐμορφότατος δύσμορφός ἐστι.

(Heraclit. ap. Platon.)

Χρὴ πρῶτον αὐτὸν ἐμβλέψαντα πράττειν· εἰ μὲν καλὸς φαίνῃ, καλὰ ποιεῖν, εἰ δὲ αἰσχρὸς, τὸ τῆς φύσεως ἐλλιπὲς διορθοῦσθαι.

(Bias.)

Vide: *Iuventus:* Καὶ τό. — *Mos:* Μή. — *Veritas:* Οὐκ.

Puritas.

Ἁγνὸν χρὴ νηοῖο θυώδεος ἐντὸς ἰόντα
ἔμμεναι· ἁγνείη δ' ἐστὶ φρονεῖν ὅσια.

(Clem. Alex. Strom. V, 551.)

— Ἁγνὸς γάρ εἰμι χεῖρας· ἀλλ' οὐ τὰς φρένας.

(E. Orest. 1604.)

Ἴσθι μὴ λουτρῷ, ἀλλὰ νόῳ καθαρός.

(Clem. Alex. Strom. IV.)

Οὔτε βαλανείου, οὔτε λόγου μὴ καθαίροντος ὄφελός ἐστιν.

(Arist. Stoicus.)

— Χεῖρες μὲν ἁγναὶ, φρὴν δ' ἔχει μίασμά τι.

(E. Hippol. 317.)

Quaestio, Quaesitum, *Inquisitio.

. . . αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντί.

(Theocrit. XIV [XIII], 64.)

Ὅτου δ' ἂν ἔργου τυγχάνῃς ἄπειρος ὢν,
τὸ πυνθάνεσθαι τῶν κατειδότων καλόν.

(Men. incert. Meineke, v. IV. p. 326.)

Querela, Querimonia.

Τὸ μεμψίμοιρον διαφυγεῖν οὐ ῥᾴδιον.

(Lucian.)

Quies, Requies, Tranquillitas (cf. Recreatio, Periculum).

Εὐδαίμων μὲν, ὃς ἐκ θαλάσσας
ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν,
εὐδαίμων δ', ὃς ὕπερθε μόχθων
ἐγένεθ'.

(E. Bacch. 902 sqq.)

. . . ἥσυχος καιρῷ σοφός.

(E. Suppl. 509.)

. . . ὦ ταλαίπωροι βροτῶν,
τί κτᾶσθε λόγχας καὶ κατ' ἀλλήλων φόνους
τίθεσθε; παύσασθ', ἀλλὰ λήξαντες πόνων,
ἄστη φυλάσσεθ' ἥσυχοι μεθ' ἡσύχων.

(E. Suppl. 949 sqq.)

Rapacitas, Rapina.

Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή.

(Hes. Op. 354.)

Raritas.

Τὸ σπάνιον τίμιον.

(Plato, Euthydem.)

Τῶν ἡδέων τὰ σπανιώτατα γιγνόμενα μάλιστα τέρπει.

(Epict. Stob. VI, 59.)

Ratio (cf. Mens, Consilium).

Ἁπάντων ζητοῦντες λόγον, ἀναιροῦσι λόγον, ἅμα δὲ τὸ εἰδέναι.

(Theophrast.)

Ζῆσον λογισμῷ καὶ μενεῖς ἀνενδεής.

(Anthol. X, 115.)

Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.

(Men. Monost. Meineke v. IV, p. 360.)

Οὐκ ἔστιν οὐδὲν, πάτερ, ἐν ἀνθρώπου φύσει
μεῖζον λογισμοῦ τῷ διαθέσθαι πράγματα.
ἕκαστός ἐστι τῷ λογίσασθαι κατὰ τρόπον
ἄρχων, στρατηγός, ἡγεμὼν δήμου, πάλιν
σύμβουλος· ὁ διαφέρων λογισμῷ πάντ' ἔχει.

(Men. Meineke, v. IV, p. 141.)

Οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
λελογισμένως πράσσοιμι μᾶλλον, ἢ σθένει.

(E. Iphig. A. 1020 sq.)

Πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γινόμενα.

(Anth. X, 24.)

Reciprocatio.

Σώφρων καθ' ἡμᾶς σώφρον' ἀντιλήψεται,
θυμούμενος δὲ τεύξεται θυμουμένων.
ἔργοισι δ' ἔργα διάδοχ' ἀντιλήψεται.

(E. Androm. 741 sqq.)

Reconciliatio.

Λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί.

(Men. Meineke, v. IV, p. 279.)

Recreatio, Relaxatio.

Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.

(Men. Monost. Meineke, v. IV, p. 358.)

Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.

(Democr. Stob. XVI, 21.)

Ἐν τῷ βίῳ, καθάπερ ἐν ὁδῷ μακρᾷ, δεῖ που κἀνάπαυσιν εἶναι.

(Isocr. XVI, 98.)

Ὁ βίος, ὥσπερ ὄργανον, ἀνέσει καὶ ἐπιτάσει ἁρμοζόμενος ἡδίων γίγνεται.

(Pythagor. Demoph. 4, Or. 1.)

Rectitudo.

Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν.

(Galen.)

Φεύγειν δεῖ πάντα τρόπον τὰς σκολιὰς καὶ πρανεῖς, τὰς δὲ ἀποτόμους καὶ ὀρθίους τρίβους ἀσπάζεσθαι.

(Theoctist. Stob. CXXVI, 21.)

Regnum v. Imperium, Rex, Tyrannus.

Reprehensio (cf. Culpa, Peccatum, Laus).

Ἀλλ' οὔποτ' ἔγωγ' ἄν, πρὶν ἴδοιμ' ὀρθὸν ἔπος,
μεμφομένων ἂν καταφαίην.

(S. Oedip. R. 508.)

Μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.

(Democr. Stob. XXXVIII, 46.)

Ῥᾷον μωμεῖσθαι ἢ μιμεῖσθαι.

(Prov.)

Res, Negotium.

Εἰ μὲν πονηρά τις πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσκει· εἰ δὲ χρηστά, τοῖς πολίταις.

(Chrysipp. Stob. XXXXV, 27.)

Καλὸν δ' ἔξω πραγμάτων ἔχειν πόδα
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

(E. Heracl. 110 sq.)

Οὐδὲν πρὸς ἔπος.

(Prov.)

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων
τὰ πράγματ', ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

(E. Fr. Archel. XXVIII.)

Rhodus.

Αὕτη γὰρ Ῥόδος καὶ τὸ πήδημα.
Ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

(Prov.)

Risus (cf. Iocus).

Ἀλλήλους ἀπατῶντες, ἐπ' ἀλλήλοισι γελῶσιν.

(Theognis, 1113.)

Ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον
μίσει.

(E. Fr. Erechth. XX, 23.)

Ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα
ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως
μισῶ γελοίους, οἵτινες μὲν ἐπὶ σοφῶν
ἀχάλιν' ἔχουσι στόματα, κεἰς ἀνδρῶν μὲν οὐ
τελοῦσ' ἀριθμὸν, ἐν γέλωτι δ' εὐπρεπεῖς.

(E. Fr. Mel. Vinct. XXIX.)

Γελᾷ δ' ὁ μῶρος, κἄν τι μὴ γελοῖον ᾖ.

(Men. Monost. Meineke, v. IV, p. 343.)

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.

(Men. Monost. Meineke, v. IV, p. 342.)

Γέλως μὴ πολὺς ἔστω, μὴ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένως.

(Epictet.)

Ἐλευθέρῳ γὰρ τό γε καταγελᾶσθαι πολὺ
αἴσχιόν ἐστι· τὸ δ' ὀδυνᾶσθ' ἀνθρώπινον.

(Men. Meineke, v. IV, p. 120.)

Μήτε γέλωτα προπετῆ, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

(Isocrat. ad. Demon.)

Οἱ σπουδάζοντες τοῖς γελοίοις ἐν τοῖς σπουδαίοις ἔσονται καταγέλαστοι.

(Plutarch. Apophthegm. Caton.)

Ὁ μὴ γέλωτος ἄξιος, ἂν ᾖ γέλως
αὐτοῦ, γέλωτος πέφυκε καταγέλως.

(Men. incert. Meineke, v. IV, p. 274.)

Οὔκουν γέλως ἥδιστος, εἰς ἐχθροὺς γελᾶν;

(S. Aias, 79.)

Στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων ἀναγγέλλει τὰ περὶ αὐτοῦ.

(Incert. Auct.)

Τῷ γελοίῳ, καθάπερ ἁλὶ, πεφεισμένως δεῖ χρῆσθαι.

(Socr. Stob. XXXIV, 18.)

Robur, Vis (cf. Consilium, Dolus).

Ἦ βραχὺ σθένος ἀνέρος· ἀλλὰ ποικιλίᾳ πραπίδων
δεινὰ μὲν φῦλα πόντου, χθονίων τ' ἀερίων τε
δάμναται παιδεύματα.

(E. Fr. Aeol. 25.)

Καλῶς ἔλεξας· οὐ σθένει νικητέον.

(E. Bacch. 953.)

— . . . οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ·
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.

(S. Aias, 1250 sqq.)

. . . οὐδέ οἱ ἦν ἴς,
οὐδὲ βίη, εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.

(Hom. Od. XVIII, 3 sq.)

Ῥώμη δέ γ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

(E. Fr. Temenus, XI.)

Roma.

Ῥώμη ἐπιτομὴ τῆς οἰκουμένης.

(Athenaeus, I, 17.)

Rumor (cf. Fama).

Ἀκέφαλος μῦθος.

(Prov.)

Φῆμαι μετέωροι καὶ ἀδέσποτοι.

(Prov.)

Sacrificium (cf. Pietas).

Τίς ὧδε μωρὸς καὶ λίαν ἀνειμένος
εὔπιστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς
ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης,
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα,
χαίρειν ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε;

(Meineke, Fr. incert. v. IV, p. 613.)

Salus, Salutaris.

Ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν,
σώζουσί θ' οὓς φιλοῦσιν.

(E. Iphig. A. 1619 sq.)

* Ὁ χρηστός ἐστι πολλαχοῦ σωτήριος.

(Men. incert. Meineke, v. IV, p. 288.)

Σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ . . .
πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.

(E. Fr. incert. 67.)

Ὑπολαμβάνω τὸ ψεῦδος ἐπὶ σωτηρίᾳ
λεγόμενον οὐδὲν περιποιεῖσθαι δυσχερές.

(Diphil. Meineke, v. IV, p. 399.)

Sanitas, Valetudo (cf. Medicina, Morbus), *Sanabilis.

Αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,
τρίτον δὲ χαίρειν· εἶτ' ὀφείλειν μηδενί.

(Phil. Meineke, v. IV, p. 56.)

. . . ἀκεσταί τοι φρένες ἐσθλῶν.

(Hom. Il. XIII, 115.)

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν.

(Theognis, 255.)

Μέγιστον ἀγαθῶν ἡ ἐπὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγίεια.

(Isocrat. Panath.)

. . . οὐδὲ καλᾶς σοφίας χάρις,
εἰ μή τις ἔχει σεμνὰν ὑγίειαν.

(Simonid. Cei, 56, Schneidewin, Delectus, p. 398.)

Ὑγιαίνειν εὔχου τοῖς θεοῖς, ἐφ' ὅσον ἔχεις ζῆν.

(Sotad. Stob. III, 39.)

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι·
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

(Simonid. Cei, Schneidewin, Delectus, p. 387 sqq.)

Ὑγίεια πρεσβίστα μακάρων!
μετὰ σεῦ ναίοιμι
τὸ λειπόμενον βιοτᾶς,
σὺ δ' ἐμοὶ πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,
τᾶς ἰσοδαίμονός τ' ἀνθρώποις
βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσι θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται,

μετὰ σεῖο, μάκαιρ' ὑγίεια,
τέθηλε πάντα καὶ λάμπει χαρίτων ἔαρ.
σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων.

(Ariphron in Anacreont.)

Ὑγιέστερος Κρότωνος.

(Men. Meineke, v. IV, p. 161.)

Sapientia, v. Prudentia (cf. Mens, Consilium; Stultitia).

Ἀγαθὸν μέγιστον ἡ φρόνησίς ἐστ' ἀεί.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἃ δεῖ μάλιστα, ταῦτ' ἔγωγ' ἔφυν σοφός.

(E. Bacch. 656.)

Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.

(E. Hippol. 436.)

Ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.

(S. Aias, 1252.)

Ἁμαρτάνει τοι καὶ σοφοῦ σοφώτερος.

(A. Fr. Stob. III, 10.)

Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.

(Men. incert. Meineke, v. IV, p. 292.)

— Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ·
ἀγροὺς καὶ πόλιας σοφία καὶ νῆα κυβερνᾷ.

(Phocyl. Admon. 123.)

Δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.

(E. Hippol. 1 sq.)

Ἔνεστι δ' οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ' ἀνδρῶν.

(E. Electra, 294 sq.)

Ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν.

(S. Aias, 554 sqq.)

— Ἔστιν μὲν οὖν ἵν' ἡδὺ μὴ λίαν φρονεῖν,
ἔστιν δὲ χὤπου χρήσιμον γνώμην ἔχειν.

(E. Iphig. A. 924 sq.)

Ἠ πανακὲς πάντων φάρμακον ἁ σοφία.

(Callimach. Epigr. XXXXVII, 4.)

Ἴδιον τοῦ σοφοῦ μετάνοια.

(Philo.)

Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις.

(Pythagor. Stob. III, 24.)

— Κέρδιστον εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.

(A. Prom. Vinct. 385.)

Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.
(E. Fr. incert. 72.)

Νοεῖν γάρ ἐστι κρεῖττον, ἢ σιγὴν ἔχειν.
(Men. Monost. Stob. III, 25.)

. . . οἱ πεῖραν οὐ δεδωκότες,
μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί.
(E. Fr. Phoenix, VII.)

Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
(Men. Monost. Meineke, v. IV, p. 351)

Ὁ τῶν σοφῶν νοῦς, ὥσπερ χρυσὸς, βάρος ἔχει μέγιστον.
(Pyth. Demoph. 5, Or. 1.)

. . . οὐ γὰρ οὐδ' ἀζήμιον
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.
(E. Electra, 295 sq.)

Οὐδεὶς ἄνθρωπος αὐτὸς πάντα σοφός.
(Prov.)

Οὐκ ἔστι γῆρας τῶν σοφῶν· ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
(S. Fr. incert. 688.)

Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
(Men. Monost. Meineke, v. IV, p. 351.)

Οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρὸν,
(καὶ συμμανῆναι δ' ἔνια δεῖ.)
(Men. Meineke, v. IV, p. 196.)

Ὁ χρήσιμ' εἰδὼς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός.
(A. Fr. 271.)

Πάντα χρόνος φθίνει· μόνη δὲ πάντων ἄφθιτος
σοφίη μένει καὶ ἀβλαβής. οὔτ' ὄμβρος, οὔτε κύματα,
οὔτε φοβερὸν Διὸς βέλος ἀπολεῖν δύναιτο πώποτε
σοφίας ἀνίκατον σθένος.
(Myrillus Ep. II, Or. I, 196.)

Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει.
(S. Antigone, 1348 sq.)

Πολυνοΐην, οὐ πολυμαθίην ἀσκέειν χρή.
(Democr. Sent. Aur. 30, Or. 1.)

Πρὸς σοφοῦ γὰρ ἀνδρὸς ἀσκεῖν σώφρον' εὐοργησίαν.
(E. Bacch. 641.)

Σοφία γάρ ἐστι καὶ μαθεῖν, ἃ μὴ νοεῖς.
(Men. Monost. Meineke, v. IV, p. 351.)

Σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.
(Isocr. Dem. 5.)

. . . σοφίᾳ δ' ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
(S. Oedip. R. 501 sq.)

Σοφίας φθονῆσαι μᾶλλον, ἢ πλούτου καλόν.
(Agathon, Stob. XXXVIII, 23.)

Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα.

(Democrit. Stob. III, 34.)

Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός.

(Men. Monost. Meineke, v. IV, p. 353.)

Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία μεῖζον κακόν.

(E. Fr. Antiope, XXXI.)

. . . . σοφόν τοι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.

(E. Hecub. 228.)

Σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαί σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.

(S. Philoctet. 431 sq.)

Σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾷς σοφόν.

(S. Philoctet. 1244.)

Σοφὸς, σοφὸς σὺ, πλὴν ἃ δεῖ σ' εἶναι σοφόν.

(E. Bacch. 655.)

Σοφοῦ παρ' ἀνδρὸς ἐκδέχου συμβουλίαν·
σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.

(Men. Monost. Meineke, v. IV, p. 353.)

Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τινα μανθάνειν.

(E. Rhesus, 206.)

Συσσωφρονεῖν γὰρ, οὐχὶ συννοσεῖν ἔφυν.

(E. Iphig. A. 407.)

Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.

(Phocylid. Admon. 122, Stob. III, 26.)

Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος
κακῶς ἐμέμφθης· καὶ γὰρ εἰ φρονεῖν ἔχω,
κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.

(E. Fr. Antiope, XXX.)

— . . . τοῖς σοφοῖς δ' εὐκτὸν σοφῷ
ἔχθραν συνάπτειν, μὴ 'μαθεῖ φρονήματι.

(E. Heraclid. 458 sqq.)

. . . τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον.

(A. Agam. 927 sq.)

Τὸ σοφὸν δ' οὐ σοφία,
τό τε μὴ θνητὰ φρονεῖν.

(E. Bacch. 393 sq.)

Τοῦ σοφοῦ στόματος ἀνοιχθέντος καθάπερ ἱεροῦ τὰ καλὰ βλέπεται, ὥσπερ ἀγάλματα.

(Socrat. Stob. I, 38.)

Ὗς Ἀθήνην.

(Prov.)

Φεῦ, φεῦ, φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη
λύῃ φρονοῦντι.

(S. Oedip. R. 316 sq.)

Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

(Men. Meineke, v. IV, p. 292.)

Ὡς σοφοῖσι πρὸς σοφοῖς ἐστι κηδεία.

(A. Fr.)

Vide: *Brevitas*: Ἀγαθῶν. — *Gubernator:* Κυβερνήτου. — *Homo:* Ἡγοῦμαι. — *Ipse:* Συνδοκεῖ. — *Modestia:* Ἐγώ. — *Modus:* Δέδοιχ'. — *Senectus:* Οὐκ ἔστι. — *Spes:* Κρεῖσσον. — *Temperantia:* Ὅστις.

Satietas (cf. Abundantia, Superbia), *Satisfactio †Insatiabilis.

* Ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται·
ἤ φησιν οὐ βιωτὸν αὐτῷ τὸν βίον.

(Ar. Plut. 194 sqq.)

* Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.

(Men. Monost. Meineke. v. IV, p. 342.)

* Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

(Solon V, Schneidewin, Delectus, p. 21.)

† Μήποτ' ἐμοὶ φρόνημα ψυχά τ' ἀκόρεστος εἴη.

(E. Heraclid. 926.)

† Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

(Solon II, Schneidewin, Delectus, p. 19)

* Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται, οὔτε πέφυκεν,
ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω·
οὐδὲ γὰρ, ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

(Theognis, 801 sqq.)

* . . . οὔ πω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστὸν, Πολυπαΐδη, οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἁνδάνει, οὔτ' ἀνέχων.

(Theognis, 24 sqq.)

† Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος,
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδετο ἐξ ἔρον εἶναι,
ἢ πολέμου.

(Hom. Il. XIII, 636 sqq.)

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεὶ,
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὡς δ' οὐ πως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται· θυμὸν δ' οὐ δύναται τελέσαι.

(Theognis, 1157 sqq.)

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

(Theognis, 693 sq.)

Πολλῷ τοι πλέονας λίμου κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

(Theognis, 605 sq.)

† Τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν.

(A. Agam. 1331 sq.)

Vide: *Insolentia:* Τίκτει. — *Parvitas:* Χείλεα. — *Tyrannus:* *Δεῖ.

Scientia, *Inscitia (cf. Ignorantia).

Αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή.

(E. Fr. Chrysipp. II.)

Εἰδέναι μὲν μηδὲν, πλὴν αὐτὸ τοῦτο, μηδὲν εἰδέναι.

(Socrat.)

Ἐπιστήμη ποιητικὴ εὐδαιμονίας· ἄνευ δὲ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πᾶσα ἐπιστήμη πανουργία, οὐ σοφία φαίνεται.

(Plato ap. Stob.)

Κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.

(E. Helen. 763 sq.)

Λέγεις περὶ ὧν οὐκ οἶσθα, συγγενῶς τρέχων
Πλάτωνι, καὶ γνώσει λίτρον καὶ κρόμμυον.

(Alexis, Meineke, v. III, p. 382.)

*—*Μὴ πάντα ἐπίστασθαι προθυμέεο, μὴ πάντων ἀμαθὴς γένῃ.

(Democr. Stob. Ecl. II, 1, 13.)

«Πάντα μὲν οἶδα» λέγεις· ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις,
γευόμενος πάντων οὐδὲν ἔχεις ἴδιον.

(Pallad. Anthol. XI, 255.)

Σάφ' εἰδότας χρὴ τῶνδε μυθεῖσθαι πέρι·
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.

(A. Agam. 1368 sq.)

Τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'· εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέσχαι, καὶ σχολὴ, τερπνὸν κακόν.

(E. Hippol. 380 sqq.)

* Φρονῶ δ' ἃ πάσχω· καὶ τόδ' οὐ σμικρὸν κακόν·
τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
νοσοῦντα· κέρδος ἐν κακοῖς ἀγνωσία.
(E. Fr. Antiope, VII.)

Secretum (cf. Arcanum).

Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ,
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.
(Men. Meineke, v. IV, p. 272.)

Seditio.

Ἐν διχοστασίῃ κ' Ἀνδροκλείδης πολεμαρχεῖ·
Ἐν διχοστασίῃ καὶ πάγκακος ἔμμορε τιμῆς.
(Prov. Diogenian.)

Senectus (cf. Iuventus).

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
(Hes. Op. 93.)

Ἀκόλαστός ἐστι, τὴν δὲ πολιὰν οὐκ ἐντρέπεται.
(Alexid. Meineke, v. III, p. 412.)

Ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.
(E. Fr. Aeol. IX.)

Ἀλλ' οὕτω τὸ γῆράς ἐστι δυσάρεστον καὶ μεμψίμοιρον καὶ μικρολόγον.
(Isocrat. Panathen.)

Ἀνειμένον τι χρῆμα πρεσβυτῶν (γένος) ἔφυ
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.
(E. Androm. 727 sq.)

Ἁ σταφυλὶς σταφίς ἐστι καὶ τὸ ῥόδον αὖον ὀλεῖται.
(Theocrit. XXVII [XXVI], 9.)

Γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον,
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
(E. Fr. Polyid. XIII.)

— Γέρων γενόμενος μὴ φρόνει νεώτερα,
μήδ' εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν.
(Philem. incert. Meineke, v. IV, p. 60.)

— Γέρων δ' ὅταν χορεύῃ,
τρίχας μὲν γέρων ἐστί,
τὰς δὲ φρένας νεάζει.
(Anacr. 47.)

Γήρᾳ προσήκων σῶζε τὴν εὐφημίαν.
(S. Fr. 206.)

ΓΗΡΑΣ: Ὑγιαίνουσα νόσος. Ζῶν θάνατος.
Προσδοκωμένη μέριμνα. Φόβος ἐλπιζόμενος.

Πολυχρόνιον γέλασμα. — Ἄπονος φρόνησις.
Ἔμπνους νεκρός. — Νεκρὸς κινούμενος.
Θάνατος προσδοκώμενος. — Χειμὼν (ἡλικίας) βίου.

— Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

(A. Fr. 283.)

Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή.

(S. Fr. 586.)

Γῆρας, ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται, ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται· ἐστὶ δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

(Menecrates, Stob. CXVI, 27.)

Γηράσκω δ' αἰεὶ, πολλὰ διδασκόμενος.

(Solon, Schneidewin, Delectus, p. 30.)

— Γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν.

(Hippothoos, Stob. CXV, 13.)

Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.

(Democr. Stob. CXVI, 41.)

Γῆρας χειμὼν βίου ἐστίν.

(Metrocles, Stob. CXVI, 48.)

Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει
τὸν νόον.

(Herodes, Hemiambi, 9, Schneidewin, Delectus, p. 234.)

. . . δὶς παῖδες οἱ γέροντες.

(Ar. Nub. 1417.)

Ἐγὼ γάρ, ὦ ἄνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν· ἀλλὰ πάντα μοι
κατὰ χεῖρας ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

(Pherecrates ap. Stob. CXVI, 12.)

Εἰ τἄλλ' ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος
ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποιεῖ.

(Men. Meineke, v. IV, p. 264.)

— Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς·
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

(Theognis, 1129 sqq.)

— . . . ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσιν τῶν γεραιτέρων κράτος.

(E. Fr. Mel. Vinct. XXIII.)

Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.

(Stob. CXVII, 1.)

. . . καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.

(S. Oedip. Col. 930 sq.)

Καλόν τε καὶ γέροντα μανθάνειν σοφά.

(A. Fr. 278.)

Καλὸν τὸ γηρᾶν, ἀλλ' ὑπεργηρᾶν κακόν.
(Men. Monost. Meineke, v. IV, p. 357.)

Καλὸν τὸ γηρᾶν, καὶ τὸ μὴ γηρᾶν πάλιν.
(Men. Monost. Meineke, v. IV, p. 318.)

Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες, καὶ μακρὸν χρόνον βίου,
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν· τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.
(E. Alcest. 669 sqq. Men. incert. Meineke, v. IV, p. 271.)

Μηδέποτε πειρῶ στρεβλὸν ὀρθῶσαι κλάδον·
οὐκ ἦν ἐνεγκεῖν, ὅπου φύσις βιάζεται.
(Men. Meineke, v. IV, p. 270.)

Μὴ καταφρόνει, Φιλῖν', ἐτῶν γεροντικῶν,
οἷς ἔνοχος, εἰς τὸ γῆρας ἂν ἔλθῃς, ἔσῃ.
(Apollodor. Stob. CXVI, 35.)

Μὴ νουθέτει γέρονθ' ἁμαρτάνοντά τι,
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον.
(Philem. Comp. Meineke, v. IV, p. 54.)

— Νέος ἂν πονήσῃς, γῆρας ἕξεις εὐθαλές.
(Men. Monost Meineke, v. IV. p. 351.)

Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων οὐ σοφὸς,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.
(Crates, Meineke, v. II, p. 248.)

— Ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον, εἰ ἐς γῆρας ἀφίξεται.
(Democr. Stob. CXV, 21.)

Οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖκ', ὅσας εἴμ' ἄξιος πληγὰς λαβεῖν.
(Ar. Eccles. 323 sq.)

Ὁμιλίας τε γὰρ γεραιτέρας φιλεῖ.
(E. Fr. Erechth XX, 21.)

Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς,
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.
(E. Fr. Oenom. IV.)

Ὅταν γέρων γέροντι τὴν γνώμην διδοῖ,
θησαυρὸς ἐπὶ θησαυρὸν ἐμποδίζεται.
(Men. Meineke, v. IV, p. 271.)

. . . ὅταν δὲ προσπέσῃ γῆρας πικρὸν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.
(E. Fr. Autolyc. I, 11 sq.)

Ὅταν ᾖ γέρων τις ἐνδεής τε τοῦ βίου,
οὐδὲν τὸ θνήσκειν δεινόν· ἀλλ' ἐν τῷ καλῶς
ἑκάτερον αὐτῶν τὴν διάγνωσιν φέρει.
(Men. incert. Meineke, v. IV, p. 253.)

Οὐδὲν γὰρ ἄλγος, οἷον ἡ πολλὴ ζόη
πάντ᾽ ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά;
νοῦς φροῦδος, ἔργ᾽ ἀχρεῖα, φροντίδες κεναί.

(S. Fr. 500.)

Οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον.

(Men. Meineke, v. IV, p. 212.)

Οὐ μακαριεῖς τὸν γέροντα, καθ᾽ ὅσον γηράσκων τελευτᾷ, ἀλλ᾽ εἰ τοῖς ἀγαθοῖς συμπεπλήρωται· ἕνεκα γὰρ χρόνου πάντες ἐσμὲν ἄδωροι.

(Metrodor. Stob. CXVI, 42.)

Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ᾽ ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

(Men. incert. Meineke, v. IV, p. 258.)

Ὀχληρὸν ὁ χρόνος ὁ πολύς, ὦ γῆρας βαρύ,
ὡς οὐδὲν ἀγαθόν, δυσχερῆ δὲ πόλλ᾽ ἔχεις
τοῖς ζῶσι, καὶ λυπηρά· πάντες εἴς σε δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα, καὶ σπουδάζομεν.

(Men. incert. Meineke, v. IV, p. 241.)

Ὀχληρὸς ἀνήρ ἐστιν ἐν νέοις γέρων.

(Men. Monost. Meineke, v. IV. p. 360.)

Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

(S. Fr. 434.)

Παραφρονεῖν παρὰ τὸ γῆρας, ἢ παντάπασι ληρεῖν.

(Isocrat.)

Παραπλήσιον πρᾶγμ᾽ ἐστι γῆρας καὶ γάμος·
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν,
ὅταν δὲ τύχωμεν, ὕστερον λυπούμεθα.

(Theodect. Meineke, Fr. incert. v. IV, p. 690.)

Παύροισι δὲ θνατῶν τὸν ἅπαντα χρόνον δαίμων ἔδωκεν,
πράσσοντας ἐν καιρῷ πολιοκρόταφον
γῆρας ἱκνεῖσθαι, πρὶν ἐγκύρσαι δύᾳ.

(Bacchylid. Schneidewin, Delectus, p. 447.)

Παυρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς.

(Hippothoos, Stob. CXV, 13.)

Πικρόν ἐστι θρέμμα γέρων ἐν οἰκίᾳ μένων.

(Men. Meineke, v. IV, p. 292.)

Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Πολιοὶ μὲν ἡμῖν ἤδη
κρόταφοι, κάρη δὲ λευκόν.
χαρίεσσα δ᾽ οὐκ ἔθ᾽ ἥβη
πάρα.

(Anacreon. 54.)

Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε,
χαίρει μεταπλάττων πάντα ἐπὶ τὰ χείρονα.

(Diphil. Meineke, v. IV, p. 414.)

— Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ᾽ εὐσωματεῖν;

(E. Androm. 764 sq.)

Πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ.

(Favorinus ap. Stob. CXVI, 45.)

Πρέσβυν ὁμήλικα πατρὸς, ἴσαις τιμαῖσι γέραιρε.

(Phocyl. Adm. 209.)

Πρεσβύτερον σέβου.

(Chilon.)

Σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει.

(Hom. Il. VIII, 103.)

Σοφόν γέ τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν.

(Antiphan. Meineke. v. III. p. 129.)

Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερὴς,
ὅταν ᾖ τὸ λοιπὸν μικρὸν, ὄξος γίγνεται.
πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

(Antiphan. incert. 68. Meineke. v. III, p. 155.)

Τί δ' ἄλλα; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.

(E. Fr. Mel. Vinct. XXVII.)

Τί κέρδος οὐκ ἔτ' ὄντας αἰκίζειν νεκρούς;
τί τὴν ἄναυδον γαῖαν ὑβρίζειν πλέον;
ἐπὰν γὰρ ἡ κρίνουσα καὶ θ' ἡδίονα
καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ,
τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου.

(Moschion. Stob. CXXV, 14.)

Τὸ γῆρας ὅρμος τῶν κακῶν.

(Bion.)

— Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε κἀσφαλέστερον,
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

(E. Fr. Peleus. V.)

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν·
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

(Antiphan. incert. 69. Meineke. v. III, p. 155)

. . . τό τε κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.

(S. Oedip. Col. 1235 sqq.)

Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

(S. Fr. 64.)

Φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
γέροντές ἐσμεν οὐδὲν πλὴν ὄχλος
καὶ σχῆμ'· ὀνείρων δ' ἕρπομεν μιμήματα,
νοῦς δ' οὐκ ἔτ' ἐστίν, οἰόμεσθα δ' εὖ φρονεῖν.

(E. Fr. Aeol. XVIII.)

Φεῦ, φεῦ, τὸ γῆρας, ὡς ἔχει πολλὰς νόσους,
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον·
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

(E. Fr. Polyid. XIII.)

Φοβοῦ τὸ γῆρας, οὐ γὰρ ἔρχεται μόνον.

(Erasm. Chiliades, Brunck. Monost.)

Ὦ γῆρας, ἐχθρὸν σωμάτων ἀνθρωπίνων,
ἅπαντα συλῶν καλὰ τῆς εὐμορφίας,
καὶ μεταχαράσσον τὴν μὲν ἀνδρίαν μελῶν
εἰς ἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν.

(Men. Comp. Meineke, v. IV, p. 239.)

Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις;
καὶ πᾶς τις εἶς σε βούλετ' ἀνθρώπων μολεῖν,
λαβὼν δὲ πεῖραν μεταμέλειαν λαμβάνει·
ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει.

(E. Fr. incert. 48.)

Ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

(E. Fr. Phoenix, III.)

Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ
ποθεινὸν, ὡς εὐδαῖμον. εἶθ' ὅταν παρῇς
ἀχθηρὸν, ὡς μοχθηρόν· εὖ λέγει τέ σε
οὐδείς, κακῶς τε πᾶς τις, ὃς σοφῶς λέγει.

(Antiphan. Meineke, v. III, p. 51.)

Ὦ γῆρας, ὡς ἅπασιν τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

(Antiphan. 70, Meineke, v. III, p. 155.)

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ
καὶ πανταχῇ λυπηρὸν· οὐ καθ' ἓν μόνον·
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.

(Pherecrates incert. 88, Meineke, v. II, p. 359.)

— Ὦ δυσπάλαιστον γῆρας, ὡς μισῶ σ' ἔχων,
μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετόν, ὥστε μὴ θανεῖν·
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔῤῥειν κἀκποδὼν εἶναι νέοις.

(E. Suppl. 1108 sqq.)

Ὦ παῖ, νέων τι δρᾶν μὲν ἔντονοι χέρες,
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.

(E. Fr. Belleroph. XIII.)

Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ.

(E. Bacch. 1251.)

— Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ
. . . πρόσεστιν, ἀλλὰ ἡ 'μπειρία
ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον.

(E. Phoen. 528 sqq.)

Sermo, v. Verbum, Oratio, Silentium (cf. Locutio, Factum).

Ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.

(E. Iphig. A. 1013.)

. . . ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.

(S. Trach. 230 sq.)

— Ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν.

(Demosth. Olynth. II.)

Ἆρ' ἔστι τοῖς νοσοῦσι χρήσιμος λόγος·
ὡς σπλήνιον πρὸς ἕλκος οἰκείως τεθὲν
τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος
εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων
εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ.

(Philem. Comp. Meineke, v. IV, p. 42.)

— Εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

(Solon. Schneidewin, Delectus, p. 23.)

— Ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι.

(Demosth. Philipp. II.)

Ἐκ τῶν λόγων μὴ κρῖνε, Κλειτοφῶν, σοφὸν
ἢ χρηστὸν ἄνδρα· τὸν βίον ἐξέταζ' ἀεί·
πολλοὶ μὲν γὰρ λέγουσιν ἀδικίας χάριν,
τὰ δ' ἔργ' ἔχουσι φαῦλα, κοὐ φρονοῦσιν εὖ.

(Philem. incert. Meinecke, v. IV, p. 48.)

— . . . ἔργῳ δ' ἐστὶν μεῖζον, ἢ λόγῳ.

(E. Phoen. 389.)

— . . . ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.

(A. Prom. Vinct. 336.)

Καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει·
λόγος γὰρ ἐσθλὸς φάρμακον φόβου βροτοῖς.

(E. Fr. incert. XXXVI.)

— Κίβδηλοι καὶ ἀγαθοφανέες, οἱ λόγῳ μὲν ἅπαντα, ἔργῳ δὲ οὐδὲν ἔρδοντες.

(Democrit. Sent. Aur. Or. I, 84.)

— . . . λογισμὸς γὰρ τοὔργον οὐ νικᾷ ποτε.

(E. Fr. Alcmene, X.)

Λόγος ἀδελφὸς ἐστι διανοίας.

(Philo.)

Λόγος μὲν κατάγει ταρτάρου κατώτερον,
λόγος δέ τ' αὖθις εἰς ὕψος ψυχὴν ἄγει.

(Gn. Men. et Philist. 21 sq. Meineke, v. IV, p. 336.)

— Λόγων τ' ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς
εὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται.

(S. Oedip. Col. 1187 sq.)

Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει ἰάματα,
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον.

(Men. Meineke, v. IV, p. 240.)

Μύθοις δ' ἄλλως φερόμεσθα.

(E. Hippol. 197.)

Μύρῳ τὴν αὐτὴν δύναμιν ἔχει ὁ λόγος· κάμνοντας ἡμᾶς ὠφελεῖ, καλῶς δὲ πράσσοντας εὐφραίνει.

(Pythagor. Demophil. 7. Or. I.)

. . . νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

(A. Prom. Vinct. 685 sq.)

Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.

(Men. Monost. Meineke, v. IV, p. 351.)

Ὁ λόγος, ἐὰν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται καὶ οὐ τοῦ λέγοντος.

(Themist. Stob. Manuscriptum Florentinum, III, 27.)

Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

(Socr. Stob. LXXXI, 13.)

— Ὁ μὲν λόγος σου, παῖ, κατ' ὀρθὸν εὐδρομεῖ,
τὸ δ' ἔργον ἄλλην οἶμον ἐκπορεύεται.

(Men. incert. Meineke, v. IV, p. 324.)

— Ὁ μὲν λόγος συνέσεως πολλῆς γέμει,
τὰ δ' ἔργα σύνεσιν οὐκ ἔχοντα φαίνεται.

(Men. Meineke, v. IV, p. 324.)

. . . ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.

(E. Orest. 758.)

Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστῳ νεῖμε θεὸς, φύσιν ἠερόφοιτον
ὄρνισι μὲν πολλὴν ταχυτῆτ', ἀλκήν τε λέουσι,
ταύροις δ' αὐτοχύτοις κεράεσσιν, κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε, λόγος δ' ἔρυμ' ἀνθρώποισιν.

(Phocyl. Adm. 117, Stob. III, 26.)

— Οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.

(S. Oedip. Col. 1143 sq.)

Οὐδεὶς πώποτε λόγων ἠπόρησεν.

(Isocrat.)

— Οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σοφοῖς πεπίστευται.

(Phalaris, ap. Stob. M. Flor. III, 40.)

— Οὐκ ἐκ τῶν λόγων δεῖ ἔργα κρίνειν, ἀλλ' ἐκ τῶν πράξεων τοὺς λόγους.

(Stob. M. Flor. III, 28.)

Οὐκ ἐν λόγοις ἦν λαμπρὸς, ἀλλ' ἐν ἀσπίδι.

(E. Suppl. 902.)

Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.

(S. Fr. 664.)

— Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

(Antiphan. Meineke, v. III, p. 149.)

. . . οὐ λόγων ἔθ' ἀγὼν, ἀλλ' ἀνάλωται χρόνος
σὺν μέσῳ μάτην· περαίνει δ' οὐδὲν ἡ προθυμία.

(E. Phoen. 588 sq.)

— Οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει, οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται.

(Democr. ap. Stob. M. Flor. III, 38.)

Οὔτι τὰ πολλὰ ἔπη φρόνιμον ἀπεφήνατο δόξαν.

(Incerti auctoris.)

— Οὐ τὸν βίον ἐκ τῆς τοῦ λόγου δεινότητος πιστεύομεν, ἀλλὰ τὸν λόγον ἐκ τῆς περὶ τὸν βίον εὐδοξίας.

(Theophrast. ap. Stob. M. Flor. III, 29.)

Πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.

(E. Orest. 1176.)

. . . πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.

(S. Electra, 415 sq.)

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
πταίσματα τῆς γνώμης, Κύρνε, ταρασσομένης.

(Theognis, 1221 sq.)

Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.

(Hom. Od. XI, 367.)

Σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.

(E. Bacch. 268 sq.)

— Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

(S. Electra, 624 sq.)

Τὰ δ' ἔργα πιθανώτερα τῶν λόγων.

(Xenoph. Cyrop. 6.)

. . . τὰ μακρὰ τῶν σμικρῶν λόγων
ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.

(E. Orest. 640 sq.)

Ταῦτ' οὐκ ἀριθμός ἐστιν . . . λόγων,
ἀλλ' ἔργα δεινά.

(S. Oedip. Col. 382 sq.)

— Τότε μὲν (παρὰ τοῖς ἀρχαίοις) ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος.

(Cleanth. Stob. LXXXII, 9.)

— Τούτων μάλιστα ὁ λόγος ἰσχύει, ὧν ἡ πρᾶξις συνακολουθεῖ τῷ λόγῳ.

(Socr. Stob. III, 35.)

Τῷ οὔτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.

(Hom. Il. XVI, 631.)

Ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται,
ἐπαίρεταί τ' ἄνθρωπος.

(Ar. Aves, 1447 sq.)

— Φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις.

(E. Fr. Peliad. IX.)

— Φιλότιμον ἦθος, πλούσιον φρόνημα δὲ
ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις ἴσον.

(E. Suppl. 907 sq.)

Ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται.

(Philem. incert. Meineke, v. IV, p. 63.)

Ὧι μή 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.

(S. Oedip. R. 296.)

— Ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν.

(Demosth. Olynth. II.)

Ὥσπερ τῶν δένδρων τὰ καλοὺς φέροντα καρποὺς πρὸ τῶν καρπῶν καὶ ἐκ τῶν φύλλων ἔστι κατανοεῖν, οὕτως ἐκ τῶν λόγων πρὸ τῶν ἔργων καὶ οἱ πλεῖστοι τῶν ἀνθρώπων διαγινώσκονται.

(Democrit. Stob. XX, 5.)

Sero, Serus (cf. Tarditas).

Ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιοῦθ'· ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

(S. Electra, 1055 sqq.)

Γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

(A. Agam. 1425.)

. . . δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.

(Hes. Op. 367.)

Κλέων Προμηθεύς ἐστι μετὰ τὰ πράγματα.

(Prov. in Ar. Ranis.)

Μετὰ λύπης γὰρ ἡ μάθησις.
μετὰ τὰ δεινὰ φρονιμώτερος.

(Prov.)

. . . ὅτε δὴ κακὸν εἶχ', ἐνόησεν.

(Hes. Op. 89.)

Ὀψὲ αἰσθάνονθ' οἱ Κυμαῖοι. (Prov.)

. . . ῥεχθὲν δέ τε νήπιος ἔγνω. (Hom. Il. XVII, 32.)

Τὰς μηχανὰς μετὰ τὸν πόλεμον κομίζειν. (Plutarch. Prov.)

Τὸ καλὸν ὀψιτέλεστον γίνεται. (Prov.)

Χρονία μὲν ἦλθες, ἀλλ' ὅμως αἰνῶ τάδε. (E. Helen. 1232.)

Vide: *Deus:* Ὀψὲ, Χρόνια. — *Gratia:* Ὥσπερ. — *Nemesis:* Δίκη. — *Poena:* Ὁ πονηρὰ. — *Stultus:* Οἱ γάρ.

Servitudo (cf. Liber, Dominus).

Ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ
δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος
εἴη τις, ἁνδάνοντα δεσπόταις ποιεῖν. (E. Fr. Alcmen. VI.)

Αἰαῖ, τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ,
τολμᾷ θ' ἃ μὴ χρὴ, τῇ βίᾳ κρατούμενον. (E. Hecub. 332 sq.)

Ἀκόλαστα πάντα γίγνεται δούλου τέκνα. (E. Fr. incert. 87.)

Ἅπαντα δουλεύειν ὁ δοῦλος μανθάνει,
πονηρὸς ἔσται· μεταδίδου παῤῥησίας,
βέλτιστον αὐτὸν τοῦτο ποιήσει πολύ. (Men. Meineke. v. IV, p. 181.)

— Δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι. (Hom. Od. XVII, 320 sq.)

Δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα. (Incerti Auctoris.)

Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων. (E. Fr. Mel. Vinct. X.)

Δοῦλος ἀναγκαῖον κτῆμα, οὐχ ἡδὺ δέ. (Metrodor. Stob. LXII, 44.)

— Δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου. (Philem. Meineke, v. IV, p. 17.)

. . . δούλους γὰρ οὐ
καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν. (E. Fr. Alex. VIII.)

Δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν
οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασιν
κτῆσις κακίων, οὐδ' ἀνωφελεστέρα. (E. Fr. Alex. VI.)

Δούλῳ γὰρ οὐχ' οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

(E. Fr. Busir. I.)

Δούλῳ γενομένῳ, δοῦλε, δουλεύειν φοβοῦ·
ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.

(Men. Meineke, v. IV, p. 268.)

— Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.

(E. Fr. Alex. XI.)

Εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς.

(Philem. incert. Meineke, v. IV, p. 63.)

— Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.

(S. Fr. 677.)

Ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.

(A. Agam. 953.)

Ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται νόμῳ,
δυσὶν δὲ δοῦλος, καὶ νόμῳ καὶ δεσπότῃ.

(Men. Meineke, v. IV, p. 268.)

Ἐλευθέρους δούλευε, δοῦλος οὐκ ἔσει.

(Men. incert. Meineke, v. IV, p. 293.)

Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος,
καὶ τοῦ δικαίου, τοῦ τ' ἀδίκου παντὸς κριτὴς
ὁ δεσπότης· πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

(Men. Meineke, v. IV, p. 250.)

Ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

(E. Ion, 854 sqq.)

Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.

(Hom. Od. XVII, 322 sq.)

— Κακόν ἐστι δούλῳ δεσπότης πράσσων κακῶς,
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίγνεται.

(Philem. Meineke, v. IV, p. 17.)

Κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

(Philem. incert. Meineke, v. IV, p. 9.)

Κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει,
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ,
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλεύσατο.

(Philem. incert. Meineke, v. IV, p. 47.)

Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν.

(Men. incert. Meineke, v. IV, p. 289.)

. . . μέγα δὲ δμῶες χατέουσιν
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι

καὶ φαγέμεν, πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει.

(Hom. Od. XV, 376 sqq.)

— Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

(E. Fr. Alcmaeon, XIV.)

— Νόμος δ' ἐν ἡμῖν τοῖς ἐλευθέροις ἴσος
καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.

(E. Hecub. 291 sq.)

Οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ δὲ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν ἐπιθυμιῶν.

(Dion. Stob. LXII, 42.)

— Ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου.

(Plat. de Leg. VI.)

Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.

(E. Fr. Alcmaeon. XV.)

— Ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα
καὶ κουφὸν ἐξαπατᾷ θεράπων, οὐκ οἶδ' ὅτι
αὐτὸς μεγαλεῖόν ἐστι διαπεπραγμένος,
ἀπαβελτερώσας τὸν τὸ πρόσθ' ἀβέλτερον.

(Men. Meineke, v. IV, p. 187.)

Ὅταν τύχῃ τις εὐνοοῦντος οἰκέτου,
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον βίου.

(Men. incert. Meineke, v. IV, p. 259.)

. . . οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας.

(S. Antigone, 478 sq.)

Οὐ δεῖ γὰρ ἀδικεῖν οἰκέτας· ἄλλως τε καὶ
ὅταν οὐ πονηρῶς, ἀλλὰ μετ' εὐνοίας τινὸς
πταίσωσιν· αἰσχρὸν τοῦτο γὰρ πέλεται πάνυ.

(Men. Meineke, v. IV, p. 102.)

— Οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.

(E. Orest. 1115.)

Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ' ἀεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

(Theognis, 535 sq.)

Οὐ σχολὴ δούλοις.

(Prov.)

. . . οὕτω γὰρ κακὸν δοῦλον γένος·
γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.

(E. Fr. Alex. X.)

— Πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον
τοιοῦτον εἶναι, καὶ στέγειν τὰ δεσποτῶν.

(E. Fr. Eurysth. IV.)

Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρὸν, ἡ δὲ φρὴν
τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.

(E. Fr. Phrix. XVII.)

. . . τὸ δὲ εὖ
κελευόμενόν ἐστιν ἀσφαλέστατον
δοῦλον ποιεῖν.

(Men. Meineke, v. IV, p. 196.)

Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;

(E. Fr. Antiope, XI.)

. . . φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.

(A. Agam. 1226.)

Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα, καὶ φρενῶν ἀνθάπτεται.

(E. Medea, 54 sq.)

Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.

(Ar. Plut. 1 sq.)

Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν,
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

(Men. incert. Meineke. v. IV, p. 274.)

Silentium (cf. Locutio, Lingua, Garrulitas, Taciturnitas, Verbum).

Ἀκίνδυνον γάρ ἐστι τῆς σιγῆς γέρας.

(Diogenian.)

Ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.

(Hom. Od. XVIII, 142.)

Ἂν ἀγνοῶν τι παρά τινος θέλῃς μαθεῖν,
τὸ τοῦ μαθητοῦ πρῶτον ἔχε, τὴν σιγήν.

(Men. incert. Meineke, v. IV, p. 274.)

*— Ἀσφαλέστερον τοῦ λέγειν τὸ σιγᾶν.

(Epictet. Stob. XXXV, 10.)

Ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε.

(E. Fr. incert. 16.)

Αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου.

(E. Iphig. A. 1142.)

Γλῶσσα σοφοῦ οὐ προηγουμένως τίμιον παρὰ θεοῦ, ἀλλὰ τὰ ἔργα· σοφὸς γὰρ καὶ σιγῶν τὸν θεὸν τιμᾷ.

(Pythag. Demophil. 6.)

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

(Chares, Stob. XXXIII, 4.)

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

(S. Aias, 293.)

Δηλαδὴ σιγᾶν ἄμεινον.

(E. Orest. 789.)

— Ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι
. . . λέγειν ὅπου δίκη,
σιγᾶν θ' ὁμοίως.

(A. Eumenid. 276 sqq.)

Εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον.
ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.

(E. Hippol. 297 sq.)

. . . ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ
δοκεῖ προσεῖναι, χἠ μάτην πολλὴ βοή.

(S. Antigone, 1251 sq.)

. . . ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.

(E. Hecub. 663 sq.)

— . . . ἔστι δ' οὗ σιγὴ λόγου
κρείσσων γένοιτ' ἄν· ἔστι δ' οὗ σιγῆς λόγος.

(E. Orest. 638 sq.)

Ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

(Simonid. Cei, Schneidewin, Delectus, p. 398.)

Εὐκαταφρόνητός ἐστι σιγηρὸς τρόπος.

(Men. Monost. Meineke, v. IV, p. 344.)

Ἔχεις σιγῇ κόσμον.

(Bias.)

Ἡ γὰρ σιωπὴ μαρτυρεῖ τὸ μὴ θέλειν.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Ἡ γὰρ σιωπὴ τοῖς σοφοῖς ἐστ' ἀπόκρισις.

(Men. Monost. Meineke, v. IV, p. 361.)

— Ἡδὺ σιωπᾶν, ἢ λαλεῖν, ἃ μὴ πρέπει.

(Men. Monost. Meineke, v. IV, p. 340.)

— Ἢ λέγε τι σιγῆς κρεῖσσον, ἢ σιγὴν ἔχε.

(E. Fr. incert. 183.)

— Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι σιωπή·
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω,
ς λαλέειν. εἰδὼς ἑτέρους ἐδίδασκε σιωπᾶν,
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑρόμενος.

(Pallad. Anthol. X, 46.)

— Ἢ σιγὴν καίριον, ἢ λόγον ὠφέλιμον ἔχε.

(Pythag. Stob. XXXIV, 8.)

Καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

(S. Antig. 1255.)

— Κόσμος δὲ σιγῆς ἀνδρὸς οὐ κακοῦ·
τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ' ὁμίλημ'.

(E. Fr. Antiope, XXXX.)

— Κρεῖττον σιωπᾶν ἐστιν, ἢ λαλεῖν μάτην.

(Philonid. incert. 8, Meineke, v. II, p. 425.)

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος.

(Theognis, 295 sq.)

Μέλλων τι πράττειν μὴ προείπῃς μηδενί.
ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει,
μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει.

(Men. incert. Meineke, v. IV, p. 269.)

Μὴ πρὸς ἅπαντας ἀναῤῥῆξαι τὸν ἀχρεῖον λόγον.
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδὸς, κέντρον δὲ μάχας
ὁ κρατιστεύων λόγος.

(Pind. ap. Alex. Clem. Str. I, 345, C. 8.)

Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.

(Men. incert. Meineke, v. IV, p. 294.)

Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν.

(Amphis. incert. 9, Meineke, v. III, p. 319.)

— Οὐ μόνον λέγειν ἔμαθον, ἀλλὰ καὶ σιωπᾶν.

(Aeschin. Stob. XXXIV, 10.)

. . . οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων
μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμὸν,
σιγήσομαι, δίκαιά γ' ἀντειπεῖν ἔχων.

(E. Fr. Teleph. V.)

Οὕτω δὲ κἀγὼ, πόλλ' ἔχουσα πήματα,
ἄφθογγός εἰμι· καὶ παρεῖσ' ἐῶ στόμα.

(E. Troad. 689 sq.)

Πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.

(A. Agam. 548.)

Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν,
τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχρότατον.

(Pallad. Anth. X, 98, Theognis, 419 sq.)

Πολλοῖς γὰρ ἀνθρώποισι φάρμακον κακῶν
σιγὴ, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.

(Carcinus, Stob. XXXIII, 1.)

Πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν.

(A. Fr. 174.)

— Πολυλογία πολλὰ σφάλματα ἔχει· τὸ δὲ σιγᾶν ἀσφαλές.

(Apollonius, Stob. XXXVI, 28.)

Σιγᾶν τὴν ἀλήθειαν, χρυσόν ἐστι θάπτειν.

(Pythag. M. Flor. XXI, 2.)

Σιγᾷς; σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

(E. Fr. Androm. XXVIII.)

Σιγᾷς; σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·
ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.

(E. Hippol. 911 sqq.)

Σιωπὴ τὰ πολλὰ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων.

(Epictet.)

Σφράγιζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

(Solon, Stob. XXXIV, 9.)

Τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν.

(A. Agam. 36 sq.)

Τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;

(S. Trach. 813 sq.)

Τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν οὐδ' ἀνασχετόν,
σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων.

(E. Fr. Dictys. XVI.)

Φαύλου ἀνδρὸς, καθάπερ κυνὸς κακοῦ, μᾶλλον δεῖ τὴν σιγὴν, ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.

(Pythagor. Demoph. 9, Or. I.)

— Χρὴ σιγᾶν, ἢ κρείσσονα σιγῆς λέγειν.

(Pythagor. Stob. XXXIV, 7.)

Ὦ παῖ, σιώπα, πόλλ' ἔχει σιγὴ καλά.

(S. Fr. 102 et Men. Meineke, v. IV, p. 280.)

Similitudo (cf. Societas).

Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι τὸ μὴ ὁμοιοῦσθαι.

(Marc. Antonin.)

Γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
παῖς παιδὶ καὶ γυναικὶ πρόσφορον γυνὴ,
νοσῶν δ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

(Meineke, Fr. incert. Comic. anonym. v. IV, p. 668.)

Ἐν θηρίοις καὶ πιθήκοις ὄντα δεῖ εἶναι πίθηκον.

(Apollodor.)

Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

(Hom. Od. XVII, 217 sq.)

Ὁμοῖον ὁμοίῳ ἀεὶ προσπελάζει.

(Antisthenes.)

Ὁμοῖον ὁμοίῳ φίλον.

(Prov.)

Ὁμοιότης τῆς φιλίας μήτηρ.

(Prov.)

. . . οὔκουν χρή σ' ὁμοιοῦσθαι κακοῖς,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.

(E. Medea, 890 sq.)

Φιλεῖ δὲ θοὐμόφυλον ἀνθρώπους ἄγειν.

(E. Fr. Belleroph. VIII.)

Simplicitas, Sinceritas, Veritas (cf. Perspicuitas, Duplicitas).

— Ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς.

(E. Iphig. T. 688.)

Ἁπλοῦς ὁ μῦθος· μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.

(E. Fr. Archel. XXIX.)

Simulatio, Dissimulatio.

— Ἄγροικος εἶναι προσποιεῖς πονηρὸς ὤν.

(Men. incert. Meineke, v. IV, p. 289.)

Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.

(E. Medea, 319.)

. . . θηρεύουσι γὰρ
σεμνοῖς λόγοισιν, αἰσχρὰ μηχανώμενοι.

(E. Hippol. 956 sq.)

Ἴσθι ὡς οὐδεμία προσποίησις πολλῷ χρόνῳ λανθάνει.

(Pythag. ap. Demophil. 23.)

Καλὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.

(S. Fr. 100.)

Τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ συγχαίρουσιν ὁμοιοπρεπεῖς,
ἀγέλαστα πρόσωπα βιαζόμενοι.

(A. Agam. 790 sqq.)

Sitis (cf. Potus).

Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας, ἢ πιεῖν διδούς.

(S. Fr. 702.)

Societas, Associatio (cf. Amicitia, Sympathia).

Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος.

(A. Sept. Contr. Theb. 599 sq.)

. . . ἡ δ' ὁμιλία
πάντων βροτοῖσι γίγνεται διδάσκαλος.

(E. Androm. 683.)

. . . κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο.

(Theognis, 31 sq.)

Κακοῖς ὁμιλῶν, καὐτὸς ἐκβήσῃ κακός.

(Men. Monost. Meinecke, v. IV, p. 347.)

Κουφότεροί ἐσμεν, μὴ μόνοι φέροντες τὰ κακά.

(Aristot.)

Κρεῖσσον δὲ πλούτου καὶ βαθυσπόρου χθονὸς
ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι.

(E. Fr. Aegeus. XII. Ed. Tauchnitz.)

Μάλιστα κακοὶ γίνονται ἐξ ἀγωγῆς κακῆς καὶ ὁμιλίας πονηρῶν.

(Socr. ap. Stob. M. Flor. XVI, 73.)

Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.

(E. Fr. Dictys, XII.)

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι
τοιοῦτός ἐστιν, οἷσπερ ἥδεται ξυνών.

(E. Fr. Phoenix, IV.)

Οὔθ' ὁ αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος, οὔθ' ὁ ἄγροικος τρόπος εἰς ὁμιλίαν.
(Socr. Stob. IV, 116.)

Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.
(Antisth. Stob. I, 80.)

Τὰς δὲ τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί.
(Plato, Leg.)

. . . τὰς ὁμιλίας
ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.
(E. Fr. Peliad. X.)

. . . ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ συνουσίαι, πάτερ.
(E. Fr. Danaë I.)

Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
(Men. Meineke, v. IV, p. 132.)

Vide: *Bonum:* Ἐσθλὰ. — *Mos*: Κατόπτρῳ.

Solus, Solitudo (cf. Caelebs).

Τὸν δὲ μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.
(Philem. Meineke, v. IV, p. 62.)

Somnus, *Somnium (cf. Nox).

Ἄγρυπνος ἔσο κατὰ νοῦν· συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου ὁ περὶ τοῦτον ὕπνος.
(Pythagor. Stob. I, 19.)

Ἀλλ' οὐ γάρ πως ἔστιν ἀύπνους ἔμμεναι αἰεί
ἀνθρώπους, ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
(Hom. Od. XIX, 591 sqq.)

Ἀνάπαυσίς ἐστι τῶν κακῶν πάντων ὕπνος.
(Men. Monost. Meineke, v. IV, p. 357.)

. . . ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
(S. Aias, 675 sq.)

Ἐνυπνάζει τῶν ζώων μάλιστα ὁ ἄνθρωπος.
(Aristoteles.)

* Θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.
(S. Fr. 63.)

Μήδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ.
(A. Eumenid. 134.)

Νύκτας δ' ὕπνος ἔχῃσιν — ὁ γάρ τ' ἐπέλησεν ἁπάντων
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἄρ' βλέφαρ' ἀμφικαλύψῃ.
(Hom. Od. XX, 84 sq.)

Ὅ τι προῖκα μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ
τὸν ὕπνον, τί τοῦτο πολυτελὲς σαυτῷ ποιεῖς;
(Meineke, Fr. incert. Comicorum anonym. v. IV, p. 670.)

Οὐ θνητὸς (ὕπνος), οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν.
(Alexis, Meineke, III, 493.)

* . . . οὗτος ἄριστός
ἐστιν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
(Theocrit. XXI [XXII], 32 sq.)

Στάζει δ' ἔν θ' ὕπνῳ πρὸς καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄ-
κοντας ἦλθε σωφρονεῖν.
(A. Agam. 179 sqq.)

Ὕπνε, ἄναξ πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων.
(Hom. Il. XIV, 233.)

Ὕπν' ὀδύνας ἀδαὴς, ὕπνε δ' ἀλγέων,
εὐαὲς ἡμῖν ἔλθοις,
εὐαίων, εὐαίων, ὦναξ!
ὄμμασι δ' ἀντίσχοις,
τάνδ' αἴγλαν, ἃ τέταται τὰ νῦν.
ἴθ', ἴθι μοι παιών.
(S. Philoctet. 827 sqq.)

ΥΠΝΟΣ: Καμάτων ἀνάπαυσις.
δεδεμένων λύσις.
θανάτου εἰκών.
ταλαιπωρούντων παραμυθία.
ἰατρῶν κατόρθωμα.
νοσούντων εὐχή.
πενήτων ἀδολεσχία.
πάσης πνοῆς ἡσυχία.

Ὕπνος, βροτείων, . . . παυστὴρ πόνων.
(Alexis, Meineke, v. III, p. 493.)

Ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν, οὔτε ταῖς ψυχαῖς ἡμῶν, οὔτ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν.
(Plato de Leg. VI.)

Ὕπνος δὲ πάσης ἐστὶν ὑγίεια νόσου.
(Men. Monost. Meineke, v. IV, p. 354.)

Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου.
(E. Orest. 211.)

Vide: ***Mors:*** Ὕπνος. — ***Nox:*** Αἶδε. — ***Oblivio:*** Ὦ πότνια. — ***Sapientia:*** Μηδ'.

Sors, Fortuna, Fatum (cf. Vicissitudo, Deus, Homo, Vita).

Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐχ οἱ ἄνθρωποι τῶν συμφορῶν.
(Herodot. VII, 49, Stob. LXXXXVIII, 64.)

Ἀλλ' ἐστὶν εὔστοχόν τι βουλευτήριον
ταὐτόματον.
(Incert. Stob. Ecl. I, VII, 4.)

Ἀλλ' οὖν μέμνησθ', ἁγὼ προλέγω·
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην.
(A. Prom. Vinct. 1073 sqq.)

Ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.
(E. Fr. Sthenoboea, IX.)

Δοὺς τῇ τύχῃ τὸ μικρὸν ἐκλήψῃ τὸ μέγα.
(Men. Monost. Meineke, v. IV, p. 343.)

Δυσπαρακολούθητόν τι πρᾶγμά ἐστιν τύχη.
(Men. Meineke, v. IV, p. 215.)

Ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.
(Pind. Fr.)

Ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσα μὲν καὶ νέμουσ' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχη μερίδα.
(Incert. Ecl. Stob. I, VII, 6.)

Ἡ τύχη ἔοικε φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τὸν μηδὲν πράξαντα στεφανοῖ.
(Pythag. ap. Demophil. 42, Or. I.)

Θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον.
(Men. Monost. Meineke, v. IV, p. 347.)

Λόγος γέ τοί τις ἔστι τῶν γεραιτέρων,
ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
(Ar. Eccl. 473.)

Μηδέποτε μέμφου τὴν τύχην, εἰδὼς ὅτι
καιρῷ πονηρῷ καὶ τὰ θεῖα δυστυχεῖ.
(Men. Meineke, v. IV, p. 57.)

Ὃν τύχη μέλανα γράφει, τοῦτον οὐ πᾶς χρόνος δύναται λευκαίνειν.
(Incerti auctoris.)

Ὅταν τις ἡμῶν ἀμέριμνον ἔχῃ τὸν βίον,
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν·
ὅταν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν,
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.
(Men. incert. Meineke, v. IV, p. 239.)

Οὐδὲν κατὰ λόγον γίγνεθ', ὧν ποιεῖ τύχη.
(Men. incert. Meineke, v. IV, p. 288.)

Οὐκ ἔσθ', ὅπως ἔχουσιν αἱ τύχαι φρένας·
οὐδεὶς γὰρ ἂν τοιοῦτος ἠτύχει ποτέ.

(Alex. incert. Meineke, v. III, p. 522.)

Οὐκ ἔστιν ἡμῖν οὐδεμία τύχη θεός,
οὐκ ἔστιν, ἀλλὰ ταὐτόματον, ὃ γίγνεται,
ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται τύχη.

(Philem. incert. 48, Meineke, v. IV, p. 51.)

Παύσασθε νοῦν ἔχοντες· οὐδὲν γὰρ πλέον
ἀνθρώπινος νοῦς ἐστιν, ἀλλ' ὁ τῆς τύχης.
εἴτ' ἐστὶ τοῦτο πνεῦμα θεῖον, εἴτε νοῦς·
τοῦτ' ἔστι τὸ κυβερνῶν ἅπαντα καὶ στρέφον
καὶ σῶζον· ἡ πρόνοια δ' ἡ θνητὴ καπνὸς
καὶ φλήναφος· πείσθητε κοὐ μέμψεσθέ με·
ἅπανθ' ὅσα νοοῦμεν, ἢ λέγομεν, ἢ πράττομεν
τύχη 'στίν, ἡμεῖς δ' ἐσμὲν ἐπιγεγραμμένοι·
τύχη κυβερνᾷ πάντα· ταύτην καὶ φρένας
δεῖ καὶ πρόνοιαν τὴν θεὸν καλεῖν μόνην·
εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς.

(Men. Meineke, v. IV, p. 213.)

Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

(E. Hippol. 701.)

Πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας,
οὐχ ἡ τύχη σε· τῆς τύχης οὐχ εἷς τρόπος.

(E. Fr. Aegeus, XI.)

Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει
σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην.

(S. Fr. incert. 686.)

. . . συμφορὰ δ' ἑτέρους ἑτέρα
πιέζει φανεῖσα θνατῶν.

(E. Alcest. 893 sq.)

. . . συμφοραὶ θεήλατοι
πᾶσιν βροτοῖσιν ἢ τότ' ἦλθον, ἢ τότε.

(E. Androm. 851 sq.)

Ταὐτόματόν ἐστιν, ὡς ἔοικέ που, θεός,
σώζει τε τὰ πολλὰ τῶν ἀοράτων πραγμάτων.

(Men. Meineke, v. IV, p. 151.)

Ταὐτόματον ἡμῖν ἀφανὲς ὂν συλλαμβάνει,
αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ κἂν καθεύδῃς, ἢ πάλιν τοὐναντίον.

(Men. Meineke, v. IV, p. 205.)

. . . τὴν τύχην δ' ἐᾶν χρεών.

(E. Iphig. T. 489.)

Τοῖς εὖ παθοῦσιν ἀντιπνεύσασ' ἡ τύχη
τὰ πάντα συγχεῖ, πάντα ναυαγεῖν ποιεῖ

τὰ τῇ φρονήσει καὶ τοῖς λογισμοῖς ὀρθῶς ἐκπεπονῆσθαι
δοκοῦντα πρὸς τὸ καλῶς ζῆν.

(Clitomach. Stob. CV, 29.)

Τὸ τῆς τύχης γὰρ ἀφανές, οἷ προβήσεται,
κἄστ' οὐ διδακτὸν, οὐδ' ἁλίσκεται τέχνῃ.

(E. Alcest. 785 sq.)

Τυφλόν γε καὶ δύστηνόν ἐστιν ἡ τύχη.

(Men. Meineke, v. IV, p. 195.)

Τύχα, μερόπων ἀρχά τε καὶ
τέρμα, τὺ καὶ σοφίας θακεῖς ἕδρας,
καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις,
καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν,
ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρυσέαν·
καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει.
τὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσι,
καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ,
προφερεστάτα θεῶν.

(Bacchyl. Stob. Ecl. I, VII. 13.)

Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.

(Chaerem. Stob. Ecl. I, VII, 7.)

Φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι·
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὖ σέβουσι πρὸς θεούς.

(E. Fr. Scyr. II.)

. . . ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις
ἀποδῷ τι σεμνὸν, τοῦτο δ' ἡ τύχη κακόν.

(Men. Meineke, v. IV, p. 177.)

Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλανὸν τύχη.

(Men. Meineke, v. IV, p. 151.)

Vide: *Alius:* Ἄλλος. — *Labor:* Καὐτὸν, Σοὶ δ', Ὅσα. — *Malum:* Ἄνευ. — *Metus:* Τί δ' ἄν. — *Patientia:* Πειρῶ, Τὰ τύχης. — *Prudentia:* Ὁ πρῶτος, Οὐ παντός. — *Stultitia:* Ἄνοια. — *Virtus:* Ἀρετῇ.

Spes (cf. Fiducia, Expectatio, Desperatio).

Ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων.

(S. Antigone, 615 sqq.)

Ἄελπτον οὐδὲν, πάντα δ' ἐλπίζειν χρεών.

(E. Fr. Hypsip. IX.)

Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.

(Men. Monost. Meineke, v. IV, p. 341.)

Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος·
καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.

(E. Phoen. 396 sq.)

Αἱ δ' ἐλπίδες εἰσὶν ἐγρηγορότων ἐνύπνια.
(Pind. Stob. III, 12.)

Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.
(Aristonym. Stob. CX, 21.)

Ἀκρότατον τῶν κατὰ τὸν βίον ἐλπίς ἐστιν.
(Diog. Stob. CX, 20.)

Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ.
(Xenoph. Anab. VII, 11.)

Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες.
(Democr. Stob. CX, 19.)

Ἀνὴρ ἀτυχῶν δὲ σώζεται ταῖς ἐλπίσιν.
(Men. Monost. Meineke, v. IV, p. 358.)

Δι' ἐλπίδος ζῆ, καὶ δι' ἐλπίδος τρέφου.
(E. Fr. Phrix. XV.)

— Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
φανεῖσα μᾶλλον ἢ τὸ προσδοκώμενον.
(E. Fr. Oedip. XV.)

Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον.
(Linus, Stob. CX, 1.)

Ἐλπίδες αἱ μὲν τῶν ὀρθὰ φρονεόντων ἐφικταὶ, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.
(Democr. Stob. CX, 18.)

Ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς.
(E. Phoen. 634.)

— Ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
(Theocr. IV [IV], 41.)

Ἔλπιζε πάντα μέχρι γήρως, θνητὸς ὤν.
(Men. Monost. Meineke, v. IV, p. 359.)

Ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τῆς θυμοβόρου φρένα λύπης.
(A. Agam. 102 sq.)

Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.
(S. Fr. 687.)

Ἐλπὶς δὲ πάντας κἀπ' ἀπειθίῃ τρέφει
ἄπρηκτον ὁρμαίνοντας.
(Simon. Amorg. Schneidewin, Delectus, p. 197, 6.)

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὐλύμπονδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν πίστις, μεγάλη θεὸς, ᾤχετο δ' ἀνδρῶν
σωφροσύνη· χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
(Theognis, 1135 sqq.)

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.
πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὖ ῥεῖν
ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.
(Theognis, 637 sqq.)

Ἐλπὶς πᾶσιν κοινοτάτη· καὶ γὰρ, οἷς ἄλλο μηδὲν, αὕτη πάρεστιν.
(Thales, Stob. CX, 24.)

Ἐμοὶ γὰρ οὐδ' ὃ πᾶσι λείπεται βροτοῖς
ξύνεστιν ἐλπίς· οὐδὲ κλέπτομαι φρένας
πράξειν τι κεδνόν· ἡδὺ δ' ἔστι καὶ δοκεῖν.

(E. Troad. 676 sqq.)

Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.

(E. Fr. Ino XX.)

Ἡδύ τι θαρσαλέαις
τὸν μακρὸν τείνειν βίον ἐλπίσι· φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις.

(A. Prom. Vinct. 536 sqq.)

Θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες.

(Pind. Isthm. II, 64.)

Καὶ τοῖς σκέλεσιν, καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

(Epictet. Fr. 90, Stob. CX, 23.)

Κρείσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

(Democr. Stob. M. Flor. XVI, 87.)

. . . λεύσσεθ', ὡς παρ' ἐλπίδας
μοῖρα βαίνει.

(E. Orest. 977 sq.)

Γένοιτό τ' ἂν πόλλ', ὧν δόκησις οὐκ ἔνι.

(E. Fr. Androm. X.)

Μεταμώνια θη-
ρεύων ἀκράντοις ἐλπίσιν.

(Pind. Pyth. III, 39 sq.)

Μυρίαι μυρίοισιν
ἔτ' εἰσὶν ἐλπίδες· αἱ μὲν
τελευτῶσιν ἐν ὄλβῳ
βροτοῖς, αἱ δ' ἀπέβησαν·
τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
εὐδαίμων, μακαρίζω.

(E. Bacch. 907 sqq.)

Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν
ἔνδον ἔμεινε πίθου, ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο.

(Hes. Op. 96 sqq.)

Οἴμοι· τί δῆτ' ἔτερψας, ὦ τάλαινά, με
ἐλπίς ποτ', οὐ μέλλουσα διατελεῖν χάριν;

(E. Heraclid. 433 sq.)

Οἰστέον καὶ ἐλπιστέον.

(Prov.)

Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπίς, ἥτις καὶ θράσος τι προξενεῖ.

(S. Trach. 725 sq.)

Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου γεννᾷ τι χρήσιμον.

(Socrat. Stob. CX, 26.)

Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

(Socrat. Stob. I, 86.)

Οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι
πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν ἀνδρὸς κακοῦ.

(E. Hercul. Fur. 105 sq.)

. . . πάντα δὲ
τὰ μηδὲ προσδοκώμεν' ἔκστασιν φέρει.

(Men. Meineke, v. IV, p. 112.)

. . . πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νεῶν στήθεσιν ἐμφύεται.

(Incerti auctoris.)

Πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς.

(E. Fr. Protesil. VI.)

Σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων μάτην,
πόνους ἔχοντες, οὐδὲν εἰδότες.

(E. Fr. incert. 68.)

Ταρβεῖν μὲν ἔργα δεῖν' ἀναγκαίως ἔχει,
τὴν ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.

(S. Trach. 723 sq.)

. . . τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολείψω.

(Bion, Stob. CX, 17.)

. . . τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
θνητοῖσιν.

(E. Fr. Alex. 20.)

Φαμὶ γὰρ οὐκ ἀποτρύειν ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ'· ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας· ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
πᾶσι κυκλοῦσιν, οἷον ἄρκτου στροφάδες κέλευθοι.

(S. Trach. 124 sqq.)

Φίλα γὰρ ἐλπὶς ἐγένετ' ἐπὶ
πήμασι βροτῶν ἄπληστος ἀνθρώποις.

(E. Iphig. T. 414 sqq.)

. . . χρὴ δ' ἀγαθὰν
ἐλπίδ' ἀνδρὶ μέλειν.

(Pind. Isth. VIII, 32 sq.)

Ὦ Ζεῦ πολυτίμηθ', οἷόν ἐστ' ἐλπὶς κακόν.

(Men. Meineke, v. IV, p. 175.)

Ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται
σώζειν· τὸ δ' αὑτοῦ σπουδάσας διέπτατο.

(E. Hercul. Fur. 506 sq.)

Sponsio.

Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

(Hom. Od. VIII, 351.)

Ἐγγύα, ἄτας θυγάτηρ, ἐγγύα δὲ ζαμίας.
(Epicharm. Clem. Alex. VI, 749.)

Ἐγγύα, πάρα δ' ἄτη.
(Pittac. Stob. III, 79.)

Οὐκ ἐγγυῶμαι, ζημία φιλέγγυον.
(E. Fr. incert. 171.)

Spurius (cf. Nobilis).

Νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
(E. Androm. 638.)

Ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει·
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.
(S. Fr. 108.)

Stabilitas (cf. Certus), Instabilitas (cf. Mutatio, Vicissitudo).

Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι.
(Socrat. Stob. I, 25.)

Stimulus.

Ὀκτάπουν ἀνέγειρες;
Τὸν λέοντα νύττεις;
Τὸν τρέχοντα ὀτρύνεις;
(Proverbia.)

Studium (cf. Labor, Cura).

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.
(Critias, Schneidewin, Delectus, p. 141.)

Οἱ τοῦ λύχνου χρείαν ἔχοντες ἔλαιον ἐπιχέουσιν.
(Anaxagor. ap. Plutarch.)

Stultitia, Insania (cf. Sapientia, Prudentia; Ignorantia).

Ἀβουλίᾳ τὰ πολλὰ βλάπτονται βροτοί.
(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.
(E. Fr. Belleroph. X.)

Ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον.
τί σαυτὸν ἀδικῶν τὴν τύχην καταιτιᾷς;
(Men. incert. Meineke, v. IV, p. 262.)

Ἄνοια πᾶσιν ἐγγίγνεται πλησιαζόντων τῶν κακῶν.
(Appian.)

Ἄνοια προκοπῆς ἐμπόδιον.

(Bias, Stob. IV. 88.)

Ἀχαλίνων στομάτων
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία,
ὁ δὲ τᾶς ἡσυχίας
βίοτος καὶ τὸ φρονεῖν ἀσά-
λευτον μένει καὶ συνέχει
δῶμα.

(E. Bacch. 385 sqq.)

Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.

(E. Bacch. 480.)

Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.

(Pythagor. Sent. Aur. 28.)

— Δεινὸν δ' ὅταν τις μὴ φρονῶν δοκεῖ φρονεῖν.

(E. Fr. incert.)

Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι,
οὐκ ἔστ' ἀκούειν οὐδὲν αὐτὸν οὐδ' ὁρᾶν.

(Philem. Meineke, v. IV, p. 54.)

. . . ἔργον ἐκ μακροῦ χρόνου
ἄνοιαν ἡμέρᾳ μεταστῆσαι μιᾷ.

(Men. incert. Meineke, v. IV, p. 146.)

Εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,
οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.
εὖ γὰρ τόδ' ἴσθι, κεἴ σ' ἐλάνθανεν πάρος,
τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.

(E. Fr. incert. IX, X.)

Εὐτυχίας, ὥσπερ μέθης, ἄφρων ἐπὶ πλείον' ἀπολαύσας ἀνοητότερος γίγνεται.

(Epictet. Fr. 163.)

Ἦ βαρὺ φόρημ', ἄνθρωπος εὐτυχῶν ἄφρων.

(A. Fr. 272.)

. . . ἡ δὲ μωρία
μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.

(E. Fr. incert. 179.)

— Καὶ σώφρων ἥμαρτε καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

(Theognis, 665 sq.)

Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν, ἢ ἄρχειν.

(Democr. Or. I, 84.)

Μήτε εὐήθης ἴσθι, μήτε κακοήθης.

(Bias, Stob. III, 79.)

Μήτε τυφλὸν ὁδηγὸν, μήτε ἀνόητον σύμβουλον.

(Prov.)

Μῶρα γὰρ μῶρος λέγει.

(E. Bacch. 369.)

Νηπίοισιν οὐ λόγος, ἀλλὰ συμφορὴ γίνεται διδάσκαλος.

(Democr. Sent. Aur. Or. I.)

Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία πολὺ ἔχει τὸ δυσάρεστον.

(Pythag. Demoph. 32, Or. I.)

Οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.

(S. Aias, 964.)

. . . οἱ δὲ (ἄνθρωποι) καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε' ἔχουσιν.

(Hom. Od. I, 34 sq.)

Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς δυστυχίαις εἰσὶ δυσθεράπευτοι.

(Socrat. Stob. IV, 108.)

Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα ἔχει, ὁ δὲ ἀνόητος τὰ χρήματα.

(Pythag. Demoph. 44, Or. I.)

Ὁ μὲν Πρωτεὺς τῇ μορφῇ, ὁ δὲ ἀπαίδευτος τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται.

(Socrat. ap. Stob. IV. 66.)

Οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν.

(Chaerem. Stob. IV. 14.)

Οὐκ ἔστ' ἀνοίας οὐδὲν, ὡς ἐμοὶ δοκεῖ,
τολμηρότερον.

(Men. Meineke, v. IV, p. 277.)

Οὔτε τὰ τοῦ Ἀχιλλέως ὅπλα τῷ Θερσίτῃ, οὔτε τὰ τῆς ψυχῆς ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει.

(Socrat. Stob. V. 119.)

. . . πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.

(S. Electra, 1054.)

— Σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ
μάτην ἀναλίσκοις ἄν.

(Ar. Thesmoph. 1130 sq.)

— Σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

(S. Fr. incert. 660.)

Ταὐτόν ἐστιν ἀῤῥωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτοις εὐτυχίαν.

(Stob. IV, 64.)

Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται.

(Demosthen. Olynth. I, 16.)

Φρόνησιν ἀσκῶν, ἄφροσιν μὴ χρῶ φίλοις,
ἐπεὶ κεκλήσῃ καὶ σὺ παντελῶς ἄφρων.

(Men. Meineke, v. IV, p. 271.)

—. . . φεύγειν σκαιὸν ἄνδρ' ἐχθρὸν χρεὼν,
σοφοῖσι δ' εἴκειν καὶ τεθραμμένοις καλῶς.

(E. Hercul. Fur. 299 sqq.)

Ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι!
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενὴς,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσι κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;

(S. Electra, 1326 sqq.)

— Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην!
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ', οὐδ' ἐθηράσασθέ πω.
φρονεῖν διδάσκειν, οἷσιν οὐκ ἔνεστι νοῦς;

(E. Hippol. 916 sqq.)

Ὦ πόποι, οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

(Hom. Od. XVII, 454.)

Suasio (Suadela), Persuasio.

Βιᾶται δ' ἁ τάλαινα πειθὼ
προβουλόπαις ἄφερτος ἄτας.

(A. Agam. 385 sq.)

Ἔχεις λόγῳ πειθώ.

(Bias.)

Ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ.

(Democrit. Sent. Aur. Or. I.)

Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.

(E. Orest. 907 sq.)

Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος,
καὶ βωμὸς αὐτῆς ἐστ' ἐν ἀνθρώπου φύσει.

(E. Fr. Antigon. II.)

. . . οὐ λυποῦντα δεῖ
παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τι.

(Men. Meineke, v. IV, p. 67.)

. . . πᾶν γὰρ ἐξαιρεῖ λόγος,
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

(E. Phoen. 516 sq.)

Πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς.

(Prov.)

— Πείσας λαβὲ, μὴ βιαζόμενος.

(Bias.)

Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
μοχθοῦμεν ὡς χρὴ πάντα καὶ μαστεύομεν,
πειθὼ δὲ, τὴν τύραννον ἀνθρώποις μόνην

οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν,
μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦν ποτε
πείθειν ἃ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;

(E. Hecub. 814 sqq.)

Τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃς, τὸ σὸν
πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὑτὸς οὐ ταὐτὸν σθένει.

(E. Hecub. 293 sqq.)

Τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

(Euen. Eleg. I, Schneidewin, Delectus, p. 134.)

Successio v. Haereditas.

Sudor.

Οὐκ ἀριστᾶν οὔτε δειπνεῖν πρὶν ἱδρῶσαι χρή.

(Xenoph. Cyr. I, IV, 5.)

Sufficientia (cf. Frugalitas, Modus, Satisfactio, Venter).

Ἂν οἷς ἔχωμεν τοῖς γε μηδὲ χρώμεθα,
ἃ δ' οὐκ ἔχομεν ζητοῦμεν, ὧν μὲν διὰ τύχην,
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθ' ἐστερημένοι.

(Philem. incert. Meineke, v. IV, p. 49.)

Ἐπὰν ἐν ἀγαθοῖς εὐνοούμενός τις ὢν
ζητεῖ τι κρεῖττον, ὧν ἔχει, ζητεῖ κακά.

(Men. incert. Meineke, v. IV, p. 272.)

Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.

(E. Phoen. 554.)

Ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνοιν·
Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου;

(Stob. M. Flor. V, 3.)

Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν μὴ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

(Democr. Stob. XVII, 26.)

Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι.

(E. Hecub. 317 sq.)

Κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου,
καὶ μικρὰ σώζου τῇ δίκῃ ξυνοῦσ' ἀεί.
μήδ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ,
ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν.

(E. Fr. Ino, VII.)

Sumptus (cf. Prodigalitas, Parsimonia).

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων·
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

(Lucian, Anthol. X, 26.)

Superabundantia, Supervacuus (cf. Modus).

Ὁ γὰρ τῶν περισσῶν ζῆλος εὐθὺς ἀκολουθεῖ καὶ συνοικίζεται τῇ χρείᾳ τῶν ἀναγκαίων.

(Plutarch. Or. I, 168.)

Πᾶν τὸ περιττὸν ἄκαιρον, ἐπεὶ λόγος ἐστὶ παλαιός·
ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

(Epigr.)

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρ' ἔπη.

(S. Fr. 103.)

Superbia (cf. Iactatio, Arrogantia, Insolentia, Humilitas).

Ἐφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε·
τὸ δοκεῖν τιν' εἶναι.

(Men. Meineke, v. IV, p. 114.)

Καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ·
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
ἢ δρύας, ἢ πλατάνους, οἶδε χαμαὶ κατάγειν.

(Lucullus, Anthol. X, 122.)

Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.

(Philem. incert. Meineke, v. IV, p. 58.)

. . . μεγάλοι δὲ λόγοι,
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες,
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

(S. Antigone, 1350 sqq.)

. . . μηδὲ μεγαλίζεο θυμῷ.

(Hom. Il. X, 69.)

Μήδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,
ὅ σ' ἐξεπαίρῃ μεῖζον, ἢ χρεών, φρονεῖν,
μηδ', ἄν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν,
ἀλλ' αὐτὸς αἰεὶ μίμνε, τὴν σαυτοῦ φύσιν
σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί.

(E. Fr. incert. CLXX.)

Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.

(E. Fr. Hipp. X.)

— Οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.

(E. Androm. 189 sq.)

Πάμπαν δὲ τυφὼς ἐκϝέλετο φρένας.

(Alcaeus, Mityl. 56, Schneidewin, Delectus, p. 282.)

Τὸ γὰρ προθύμως μὴ πονήσαντ' εὐτυχεῖν
εὐδαιμονίας εἴωθ' ὑπερηφανίας ποιεῖν.

(Men. Meineke, v. IV, p. 143.)

Ὑπερηφανία μέγιστον ἀνθρώποις κακόν.

(Men. Monost. Meineke, v. IV, p. 354.)

. . . ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.

(A. Agam. 1612.)

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρὶ,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι·
τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

(Theognis, 151 sqq.)

Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε σταχὺν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.

(A. Pers. 821 sq.)

. . . ὕβρις δέ τοι
οὐπώποτ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,
ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ φθίνει πάλιν.

(S. Fr. 705.)

. . . ὕβρις,
ἥτις κερδαίνουσ' οὐδὲν ὅμως ἀδικεῖ.

(Enenus 7, Schneidewin, Delectus, p. 135.)

Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.

(Men. Monost. Meineke, v. IV, p. 354.)

. . . ὑπέρκομπον
μηδέν ποτ' εἴπῃς αὐτὸς ἐς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάθει.

(S. Aias, 127 sqq.)

Φεῦ, Φεῦ! κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ πράξοντες εὖ.

(E. Suppl. 463 sq.)

. . . φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

(E. Fr. Alcmaeon. XI.)

Vide: *Dies:* Μήποτ'. — *Mors:* Ἀνθρώπων θῖνες. — *Mutatio:* Ὑπερήφανον. — *Nemesis:* Ὅταν. — *Vinum:* Ὕβρις.

Suspicio (cf. Opinio).

Ἃ μὴ δεῖ ποιεῖν, μηδ' ὑπονοοῦ ποιεῖν.

(Pythag.)

Μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' εὐλαβὴς γενοῦ καὶ ἀσφαλής.

(Democr. Sent. Aur. 57.)

Τὸ δοκεῖν διαβολὴν ἔσχε μείζω τοῦ ποιεῖν.

(Men. incert. Meineke, v. IV, p. 289.)

Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Χρηστοῦ παρ' ἀνδρὸς μηδὲν ὑπονόει κακόν.

(Men. incert. Meineke, v. IV, p. 289.)

Sycophantia (cf. Calumnia, Invidia).

Ἅτε γὰρ ὢν γενναῖος ὑπὸ τῶν συκοφαντῶν τίλλεται.

(Ar. Aves, 285.)

Sympathia, Condolentia (cf. Consolatio, Dolor, Miseratio).

Ἐκ τοῦ παθεῖν γίγνωσκε καὶ τὸ συμπαθεῖν·
καί σοι γὰρ ἄλλος συμπαθήσεται παθών.

(Philem. incert. Meineke, v. IV, p. 52.)

Καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς.

(E. Heraclid. 27.)

Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσι
τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν.

(Men. incert. Meineke, v. IV, p. 264.)

Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον
νηπενθές τ', ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

(Sotion, Stob. CXIII, 15.)

Οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος·
. . . οὐδείς ἐστί μοι
ἀλλότριος, ἂν ᾖ χρηστός· ἡ φύσις μία
πάντων, τὸ δ' οἰκεῖον συνίστησιν τρόπος.

(Men. Meineke, v. IV, p. 185.)

Συνάλγησον, ὡς ὁ κάμνων
δακρύων μεταδοὺς
ἔχει τινὰ κουφότητα μόχθων.

(E. Fr. Androm. XXV.)

Σύν τοι, Κύρνε, παθόντι κακῶς ἀνιώμεθα πάντες·
ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

(Theognis, 655 sq.)

Vide: *Amicus:* Ἡδύ. Ἣ καθάπερ. Τῷ μέν. — *Lacrima:* Ἀμουσία. Ἐστίν. Οὐκ ἔστιν. — *Scientia:* Κέρδος. — *Sermo:* Λύπης. Μύρῳ. Ψυχῆς.

Tarditas v. Mora (cf. Celeritas, Pigritia, Sero).

Βραδέως ἐγχείρει· ὃ δ' ἂν ἄρξῃ, διαβεβαίου.

(Bias.)

— Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

(Theognis, 42 sq.)

— Οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει τοι βραδὺς ὠκύν·
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
ὠκύτατόν περ ἐόντα.

(Hom. Od. VIII, 329 sqq.)

Temeritas (cf. Audacia, Cautio, Prudentia).

Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.

(S. Electra, 398.)

Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.

(Men. Monost. Meineke, v. IV, p. 360.)

Τὸ μηδὲν εἰκῇ πανταχοῦ 'στι χρήσιμον.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Temperantia, Frugalitas (cf. Sufficientia, Modus, Venter).

Γαστέρος δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.

(Men. Monost. Meineke, v. IV, p. 343.)

Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.

(Men. Monost. Meineke, v. IV, p. 346.)

. . . κρατεῖν δὲ ἐθίζεο τῶνδε
γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ.

(Pythagor. Stob. I, 14.)

Ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν,
οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.

(E. Fr. Polyid. III.)

. . . δεῖ γὰρ ἄνδρ' εἰθισμένον
ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν.

(E. Fr. Antiope, XXXIII.)

Tempus (cf. Occasio, Vita, Senectus, Iuventus).

Ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.

(A. Prom. Vinct. 982.)

. . . ἀλλὰ ταῦτα μὲν χρόνος
δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής.

(Stob. Ecl. I, IX, 27.)

Ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος.

(Pind. Fr. 124, Bergk.)

῞Απανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τἄδηλα, καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται
χὠ δεινὸς ὅρκος, χαἰ περισκελεῖς φρένες.

(S. Aias, 646 sqq.)

Ἐπάν σ' ὁ καιρὸς ἐμβάλῃ πολλοῖς κακοῖς,
μὴ ἐκκακήσῃς πάντα εὐθύμως φέρειν·
πάλιν γὰρ ὄψει τῶν κακῶν περιτροπὴν·
ἀεὶ γὰρ ὡς τρόχος ὁ χρόνος κυλίεται.

(Gnom. Men. et Philist. Meineke, v. IV, p. 336.)

. . . ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

(S. Oedip. R. 613 sqq.)

. . . ἔστι τοῖς σοφοῖς βροτῶν
χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.

(Men. Meineke v. IV, p. 272.)

Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

(Men. Monost. Meineke, v. IV, p. 346.)

Καιρὸν γνῶθι.

(Thales.)

Κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ
προθεὶς κάτοπτρον, ὥστε παρθένῳ νέᾳ,
χρόνος.

(E. Hippol. 428 sqq.)

Μάλιστα δ' ἐκπλήττει με τῶν συνειδότων
ὁ χρόνος, ὃν αἰεὶ λανθάνειν ἀμηχανῶ.

(Antiphan. Meineke, v. III, p. 156.)

Μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος.

(Stob. Ecl. I, IX, 11.)

Ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.

(E. Fr. Belleroph. XIII.)

Ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
κρείσσω δίδωσιν.

(E. Suppl. 419 sq.)

. . . ὁ δὲ χρόνος τρέχει,
τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

(Palladas, Anthol. X. 81.)

Ὁ κοινὸς ἰατρός σε θεραπεύει χρόνος.

(Philipp. Stob. CXXIV, 21.)

Ὁ πολὺς χρόνος πάντ' ἐξελέγχει, Νικοφῶν.

(Meineke, Fr. incert. v. IV, p. 693.)

῞Οσαι τέχναι γεγόνασι, ταύτας, ὦ Λάχης,
πάσας ἐδίδασκεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος.

(Philem. incert. Meineke, v. IV, p. 54.)

. . . ὅτι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα.

(Simonid. 74, Schneidewin, Delectus, p. 404.)

Οὐδενὸς οὕτω πενόμεθα ὡς χρόνου· βραχὺς γὰρ ὁ βίος, ἡ δὲ τέχνη μακρή.

(Zeno, Stob. LXXXXVIII, 68.)

Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ,
οὐδ' ἂν γένοιτο· πολλὰ ποικίλλει χρόνος
παράδοξα καὶ θαυμαστὰ, καὶ ζώντων τρόπους.

(Men. Meineke, v. IV, p. 247.)

Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

(Simonid. Stob. Ecl. I, 9, 15.)

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ,τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται.

(Chaerem. Fr. Stob. Ecl. I, IX, 4.)

Οὐκ ἔστι πράττοντάς τι μοχθηρὸν λαθεῖν·
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.

(E. Fr. Mel. Vinct. XIII.)

Οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ἀπέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

(Xenophanes, Stob. XXIX, 41.)

Ὁ χρόνος ἅπαντα πᾶσιν ὕστερον φράσει·
λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει.

(E. Fr. Aeol. XXVI.)

. . . ὁ χρόνος οὐ μόνον τὰ σώματα
αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα.

(Phil. Meineke, v. IV, p. 54.)

Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται,
οὐκ ἔστι δυσαρεστώτερον οὐδὲ ἓν χρόνου,
οὐδέποτ' ἀρέσκει ταὐτὰ τούτῳ τῷ θεῷ.

(Nicostrat. incert. Meineke, v. III, p. 288.)

Πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον,
ὅν φημι, τοῦτον κἀπιδημίαν βροτῶν.

(Men. Meineke, v. IV, p. 211.)

Πάνθ' ὁ μέγας χρόνος μαραίνει,
κοὐδὲν ἀναύδητον φατίσαιμ' ἄν.

(S. Aias, 713 sq.)

Πᾶν τοὔργον ὀρθῶς ἐκμαθεῖν χρόνου μέτα.

(Men. Meineke, v. IV, p. 293.)

Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστὶν, οὗτος καί σε νῦν ἰάσεται.

(Men. Meineke, v. IV. p. 264.)

Πολυτελέστατον ἀνάλωμα χρόνος.

(Antiphon ap. Plutarch.)

Πρὸς ταῦτα κρύπτε μηδὲν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος.

(S. Fr. Hippon. 284.)

Σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι.

(Stob. Ecl. I, 9, 14.)

Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.

(Men. Monost. Meineke, v. IV, p. 391.)

Σχολῇ βαδίζων ὁ χρόνος ἀφικνοῖτο ἄν.

(Chaerem. Stob. Ecl. I, 9, 30.)

Τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος,
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος.

(S. Oed. Col. 609 sq.)

Φθονερὸς ὁ χρόνος· καὶ γὰρ τὴν ἄνθους ὥραν ἀφανίζει, καὶ τὴν κάλλους ἀκμήν ἀπάγει.

(Prov.)

Χρόνον γὰρ εἰς τὰ πράγματ' ἐὰν λάβῃς,
ἅπαντα λήξει καὶ καταστελήσεται.

(Apollodor. Meineke, v. IV, p. 457.)

Χρόνον ἔγνων, ὃν παρῆλθον,
ὃν δ' ἔχω δραμεῖν, οὐκ οἶδα.

(Anacr. 24.)

Χρόνος αὖ, χρόνος ἅμα κραταιᾷ
τερμοσύνᾳ βίου πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις.

(S. Fr. incert. 658.)

Χρόνος γὰρ οὗτός ἐστιν ἀνθρώποις ἀεί·
τὸν οὖν παρόντα καιρὸν ἀπαντᾶν ἀφεὶς
οὐκ ἔστιν αὐτὸν προσλαβεῖν πάλιν ταχύ.

(Men. Meineke, v. IV, p. 335.)

Χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.

(Stob. CXXVI, 8.)

Χρόνος δὲ δείξει σ', ᾧ τεκμηρίῳ μαθὼν
ἢ χρηστὸν ὄντα γνώσομαί σέ γ', ἢ κακόν.

(E. Fr. Alexand. XV.)

Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.

(E. Fr. Hippol. XVIII.)

Χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.

(A. Eumenid. 286.)

Χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει κακόν.

(E. Alcest. 1085.)

Χρόνος πενθέων φάρμακα μοῦνος ἔχει.

(Philet. Stob. CXXIV, 26.)

. . . χρόνος
τάδε πάντ' ἀμαυροῖ, καὶ ὑπὸ χεῖρα λαμβάνει.

(Theodect. Stob. Ecl. I, 9, 6.)

Χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.

(Phil. incert. Meineke, v. IV, p. 61.)

Χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.

(Stob. Ecl. I, 9, 29.)

Terra (cf. Mare).

Ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

(E. Fr. Temen. XII.)

Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος.

(Thucyd. II, 43.)

Γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται.

(Men. Monost. Meineke v. IV, p. 342.)

Timiditas, v. Ignavia, Metus (cf. Desperatio).

Tyrannus (cf. Rex, Imperium).

Ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
καὶ τοὺς ἀρίστους, οὓς ἂν ἡγῆται φρονεῖν,
κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις,
ὅταν τις ὡς λειμῶνος ἠρινοῦ στάχυν
τόλμας ἀφαιρῇ κἀπολωτίζῃ νέους;
κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις,
ὡς τῷ τυράννῳ πλεῖον' ἐκμοχθῇ βίον;
ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
τερπνὰς τυράννοις ἡδονάς, ὅταν θέλῃ,
δάκρυα δ' ἑτοιμάζουσι; μὴ ζῴην ἔτι,
εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύσεται.

(E. Suppl. 444 sqq.)

Δεῖ τοῖς πολλοῖσι τὸν τύραννον ἁνδάνειν.

(E. Fr. Antigon. III.)

. . . δημότης δ' ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον, ἢ τύραννος ὤν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ, κατθανεῖν φοβούμενος.

(E. Ion, 625 sqq.)

Δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν· ὁ θεὸς Ἀνάγκης.

(Phil. Meineke, v. IV, p. 11.)

Ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον, ἢ τύραννα δρᾶν.

(S. Oed. R. 587 sq.)

Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

(E. Phoen. 524 sq.)

Ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.

(S. Antigone, 178 sqq.)

Ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.

(A. Prom. Vinct. 224 sq.)

Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.

(E. Fr. incert. Spur. [Ed. Tauchn.])

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

(S. Fr. 711.)

Τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν, ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν.

(Plato ad Dionys.)

Τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς,
τυραννίς· οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών·
πλεῖστος φόβος πρόσεστι, μὴ δράσωσί τι.

(E. Fr. Peliad. V.)

Τοῖς τυράννοις ὁμιλεῖν ἢ ἥδιστα ἢ ἥκιστα.

(Xenophanes.)

Τυραννίδ', ἣ θεῶν δευτέρα νομίζεται·
τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.

(E. Fr. Archel. XXX.)

Τυραννίδος δὴ τῆς μάτην αἰνουμένης
τὸ μὲν πρόσωπον ἡδύ, τἀν δόμοισι δὲ
λυπηρά.

(E. Ion, 621 sq.)

Τυραννὶς θηρίων ἁπάντων ἀγριώτατον.

(Dion. Hal. Cicero, De Off. III, 23.)

Ὦτα καὶ ὀφθαλμοὶ βασιλέως πολλοί.

(Prov.)

Ultio, Vindicta (cf. Poena).

Vide: *Lis:* Δίκα. — *Venia:* Συγγνώμη.

Unus (cf. Duo, Omnes, Multitudo).

Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ.

(Prov.)

. . . εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.

(E. Phoen. 745.)

Εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκοῦον.

(Oraculum Solonis.)

Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

(Prov. ap. Aristot.)

Ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σώζειν φιλεῖ.

(E. Fr. Phaëthon, XI.)

— Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

(Archiloch. Schneidewin, Delectus, p. 192.)

Πολὺ κρεῖσσόν ἐστιν ἓν καλῶς μεμαθηκέναι,
ἢ πολλὰ φαύλως παραβεβλῆσθαι πράγματα.

(Men. Meineke, v. IV, p. 326.)

Urbs.

'Ερημία μεγάλη 'στὶν μεγάλη πόλις.

(Meineke, Fr. incert. v. IV, p. 639.)

Usus, Utilitas.

. . . ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων.

(S. Oed. R. 314.)

'Ηδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρῃ.

(Democr. Sent. Aur. XXXIX.)

Λάμπει γὰρ ἐν χρείαισιν, ὥσπερ εὐπρεπὴς
χαλκὸς, χρόνῳ δ' ἀργῆσαν ἤμυσε στέγος.

(S. Fr. 742.)

— Μή μοι γένοιτ', ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.

(Men. Meineke, v. IV, p. 351.)

Οὐ γὰρ ἁ κτῆσις τᾶς ἀρετᾶς εὐδαιμονία ἦς,· ἀλλὰ χρᾶσις. καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν οὐχ ὁρᾷ ἀεὶ, εἰ γὰρ μὴ ἔχῃ φῶς, οὐκ ὄψεται.

(Archyt. Stob. I, 70.)

Χρὴ δ' ἄνδρα τάσσειν, οὗ μάλιστ' ἂν ὠφελοῖ.

(E. Rhes. 626.)

Vaticinium, Vates (cf. Augurium).

Ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλουσιν ἀποθανεῖσθαι.

(Plato ap. Lachem.)

Μάντις δ' ἄριστος, ὅστις εἰκάζει.

(E. Fr. incert. 85.)

Τίς δὲ μάντις ἐστ' ἀνήρ;
ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
τυχὼν, ὅταν δὲ μὴ τύχῃ, διοίχεται.

(E. Iphig. A. 956.)

Τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.

(S. Antigone, 1055.)

Τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.

(E. Iphig. A. 520.)

. . . τοὺς θεοὺς ἔχων τις ἂν
φίλους, ἀρίστην μαντικὴν ἔχοι δόμοις.

(E. Helen. 759 sq.)

Venia (cf. Peccatum, Poena).

Συγγνώμη τιμωρίας κρείσσων. τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

(Pittac. ap. Diogen. Laërt. I, 76.)

Venter (cf. Necessitas, Paupertas, Fames, Voluptas).

Γαστὴρ παχεῖα λεπτὸν οὐ τίκτει νοῦν.

(Mich. Apost. V, 97.)

Μετρεῖν τὴν εὐδαιμονίαν τῇ γαστρί.

(Prov.)

Νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη
γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά.

(E. Fr. incert. 107.)

Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο, ἥτ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ.

(Hom. Od. VII, 216 sq.)

Ὡς χαλεπόν ἐστι λέγειν γαστέρα, ὦτα μὴ ἔχουσαν.

(Cato ap. Gellium.)

Venus, v. Amor 2.

Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς.

(E. Troad. 989.)

Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες·
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα!

(E. Fr. Ino, X.)

Ver.

Εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη,
ἀνίκα μήτε κρύος, μήθ' ἅλιος ἄμμε βαρύνει.
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἀδέα βλαστῇ,
χὰ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοΐος ἀώς.

(Bion, Stob. Ecl. I, 9, 39.)

Verbum v. Sermo (cf. Locutio, Factum, Oratio).

Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

(Pythag. Sent. Aur. Stob. XXXIV. 11.)

Ἀλλ' ἐκ λόγου γὰρ ἄλλος ἐκβαίνει λόγος.

(E. Troad. 701.)

Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,
οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·
νῦν δ', ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος
λαβεῖν ἀμισθὶ, πᾶς τις ἥδεται λέγων
τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει.

(E. Fr. incert. 89.)

Λόγος εἴδωλον ἔργων.

(Solon.)

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώσσης λόγον.

(Men. incert. Meineke, v. IV. p. 257.)

Ῥίψας λόγον τις οὐκ ἀναίρεται πάλιν.

(Men. Monost. Meineke, v. IV, p. 360.)

— Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα,
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

(Theognis, 1167 sq.)

Verecundia, v. Pudor.

Veritas (cf. Falsum), * Verisimilis (cf. Opinio, Existimatio).

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.

(Men. Monost. Meineke, v. IV, p. 340.)

Ἀδύνατον, ὡς ἔοικε, τἀληθὲς λαθεῖν.

(Men. Meineke, v. IV, p. 326.)

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν·
ἐν παντὶ καιρῷ τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

(Men. Meineke, v. IV. p. 214.)

Ἀθάνατον χρῆμα ἡ ἀλήθεια καὶ ἀΐδιον.

(Epictet. ap. Melissum XXI. 1, Or. 1.)

Ἀλάθεια θεῶν ὁμόπολις,
μόνη θεοῖς συνδιαιτωμένη.

(Olympias, Stob. XI, 2.)

Ἀληθὲς εἶναι δεῖ τὸ σεμνὸν, οὐ κενόν.

(Men. Meineke, v. IV, p. 327.)

. . . . ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον.

(Theognis, 1225 sq.)

Ἀληθομυθεύειν χρεὼν ὅπου λώϊον.

(Democr. Stob. XII, 13.)

Ἀμφοῖν ὄντοιν φίλοιν, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν.

(Aristot. Eth. Nicom.)

Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

(A. Fr. 162.)

— Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.

(E. Phoen. 469 sqq.)

Διὰ παντὸς χρόνου τὴν ἀλήθειαν φαίνου προτιμῶν, ὡς πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς ἄλλων ὅρκους.

(Isocr. Stob. M. Flor. XXI, 13.)

*Δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δ' ἀμήχανα σιωπᾶν.

(Thales ap. Plutarch. Or. I, 178.)

Δύστην' ἀλήθει', ὡς ἐν οὐ καιρῷ πάρει.

(E. Bacch. 1288.)

— Δύστηνος, ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων
οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.

(E. Fr. incert. 14.)

. . . εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.

(S. Trach. 373 sq.)

Εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.

(S. Philoct. 1236.)

Ἐν βυθῷ γὰρ κεῖται ἡ ἀλήθεια.

(Democr.)

Ἐλευθέρου γὰρ ἀνδρὸς τἀληθῆ λέγειν.

(Stob. I, 10. Monost.)

. . . . ἔρχεται
τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον.

(Men. Meineke, v. IV, p. 198.)

Ἔχει τι πικρὸν ὁ τῆς ἀληθείας λόγος, ἐπειδάν τις ἀκράτῳ παῤῥησίᾳ χρώμενος μεγάλων προσδοκίαν ἀφαιρῆται, τὰ δὲ προσηνῆ καὶ ψευδῆ πείθῃ τοὺς ἀκούοντας.

(Dion. Romanus, Stob. M. Fl. XXI, 17.)

Ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν· καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

(Epictet. Stob. V, 105.)

Ἡ ἀλήθεια δάκνει ψυχὴν νοσοῦσαν, ὥσπερ καὶ μέλι σῶμα τετραυματισμένου.

(M. Stob. Flor. XXI, 4.)

— Ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ, ἡ δὲ δόξα παρὰ τοῖς ἔξω.

(Epictet. Stob. V, 106.)

Θάρσει· λέγων τἀληθές, οὐ σφαλεῖ ποτε.

(S. Fr. 513.)

— Ἴσκε ψευδέα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

(Hom. Od. XIX, 203.)

Καλόν γ' ἀληθὴς κἀτενὴς παῤῥησία.

(E. Fr. Temenus. II.)

Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.

(S. Fr. 323.)

Κεὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ.

(Demosth. Phil. III.)

— Κλεπτῶν γὰρ ἡ νὺξ, τῆς δ' ἀληθείας τὸ φῶς.

(E. Iphig. T. 1026.)

Λυδία μὲν γὰρ λίθος μανύει
χρυσὸν, ἀνδρῶν δ' ἀρετὰν σοφία τε, παγκρατής τ' ἐλέγχει
ἀλάθεια.

(Bacchyl. Schneidewin, Delectus, p. 444.)

Μηδὲν τιμιώτερον τῆς ἀληθείας ἐστί.

(Epictet. Fr. 139.)

Οἱ δὲ τῇ ἀληθείᾳ δρομικοὶ εἰς τέλος ἐλθόντες, ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται.

(Plato, Resp. I, 1.)

Ὀργίζονται ἅπαντες τοῖς μετὰ παῤῥησίας τἀληθῆ λέγουσιν.

(Lucian.)

Οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεοὺς,
οὔτ' ἀνδριαντοποιός, ὅστις ἂν πλάσαι
κάλλος τοιοῦτον, οἷον ἡ ἀλήθει' ἔχει.

(Philem. incert. Meineke, v. IV, p. 22.)

Οὐδὲν γὰρ αἰσχρόν ἐστι τἀληθῆ λέγειν.

(Men. Meineke, v. IV, p. 326.)

Οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκὴς,
καί τοι σιγᾶν πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπων νοῆσαι.

(Pind. Nem. V, 30 sqq.)

— Οὐ τοῦ δοκεῖν μοι, τῆς δ' ἀληθείας μέλει.

(Stob. M. Flor. III, 1.)

Πέφευγα· τἀληθὲς γὰρ ἰσχῦον τρέφω.

(S. Oedip. R. 356.)

Πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.

(Hom. Iliad. XX, 255.)

Σιγᾶν τὴν ἀλήθειαν χρυσόν ἐστι θάπτειν.

(Pythag. Stob. Man. Fl. XXI, 2.)

* Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου.

(S. Fr. 691.)

Τὸ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

(Plato in Gorg.)

— Τὸ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ δὲ ψεῦδος γλυκὺ καὶ προσηνές.

(Diog. Stob. M. Flor. XXI. 18.)

Τοῖς λανθάνειν σπουδάζουσι πικρὸν ἡ ἀλήθεια.
(Pythag. Stob. M. Flor. XXI, 5.)

Τὸ πιθανὸν ἰσχὺν τῆς ἀληθείας ἔχει,
ἐνίοτε μείζω, καὶ πιθανωτέραν ὄχλῳ.
(Men. Meineke, v. IV, p. 255.)

Τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.
(S. Fr. 107.)

— Ψεύδεσθαι, ἀνελεύθερον· ἀλήθεια, γενναῖον.
(Apollon. Delius, Stob. XI. 20.)

Χρὴ τὴν μὲν εὐσέβειαν φανερῶς ἐνδείκνυσθαι, τὴν δὲ ἀλήθειαν θαῤῥούντως.
(Democr. Ant. Max. Or. I.)

Ὥσπερ οὐ δυνατὸν ὀφθαλμῷ τεθολωμένῳ ἀκριβῆ τῶν ὁρωμένων κατάληψιν, οὕτως οὐδὲ τεθολωμένῃ ψυχῇ τῇ κατανοήσει τῆς ἀληθείας ἐπιβαλεῖν.
(Pythag. Stob. M. Flor. XXI, 6.)

Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ τῆς παῤῥησίας (ἀληθείας) λόγοι.
(Aristonym. Stob. XIII, 23.)

Vestitus.

Πρὸς τοὺς πέλας πορεύου λαμπρὸν ἱμάτιον ἔχων, καὶ φρονεῖν πολλοῖσι δόξεις τυχὸν ἴσως.
(Epicharm. Stob. M. Fl. III, 6.)

Vetus (cf. Senectus, Novus).

— Τοῖς μὲν νόμοις παλαιοῖς χρῶ, τοῖς δ' ὄψοις προσφάτοις.
(Periander.)

Vicinitas (cf. Propinquitas, Distantia).

Ἐὰν πονηροῦ γείτονος γείτων ἔσῃ,
πάντως παθεῖν πονηρὸν, ἢ μαθεῖν σε δεῖ·
ἐὰν δ' ἄρ' ἀγαθοῦ γείτονος γείτων ἔσῃ,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.
(Men. incert. Meineke, v. IV, p. 240.)

Ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
(Hes. Op. 345.)

Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.
(Hes. Op. 344.)

Vicissitudo, v. Mutatio (cf. Homo, Sors, Vita, Mors, Felicitas, Miseria, Stabilitas, Tempus).

Ἀλλ' ἡμέρα τοι μεταβολὰς πολλὰς ἔχει.
(E. Fr. Oedip. XIII.)

Ἀλλ' οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ
τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν,
ὥσπερ σελήνης δ' ὄψις εὐφρόνας δύο
στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὤτανπερ αὑτῆς εὐγενεστάτη φανῇ,
πάλιν διαῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται.

(S. Fr. 713.)

Ἄνθρωπος ἐὼν μή ποτε εἴπῃς, ὅ,τι γίγνεται αὔριον,
μήτ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·
ὠκεῖα γὰρ οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

(Simonid. Cei, Schneidewin, Delectus, p. 389.)

Ἄνθρωπε, μὴ στέναζε, μὴ λυποῦ μάτην,
χρήματα, γυναῖκα καὶ τέκνων πολλῶν σποράν·
ἅ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο.

(Men. incert. Meineke, v. IV, p. 247.)

. . . ἅπανθ' ὁρῶ
ἅμα τῇ τύχῃ ῥέοντα μεταπίπτοντά τε.

(Stob. Ecl. I, VII, 2.)

Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη,
οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.

(Chaerem. Stob. Ecl. I, VII, 15.)

Βέβαια δ' οὐδεὶς θνητὸς εὐτυχεῖ γεγώς.

(E. Fr. incert. 44.)

Βέβαιον δ' οὐδέν ἐστιν ἐν ἀνθρώπων γένει·
βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

(E. Fr. incert. 163.)

Εἰ καὶ σφόδρ' εὐπορεῖ τις, ἀβεβαίως τρυφᾷ,
τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

(Men. Meineke, v. IV, p. 96.)

Ἐπὰν ἐκ μεταβολῆς ἐπὶ κρεῖττον γένῃ,
ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.

(Men. Meineke, v. IV, p. 275.)

Ἐς ταὐτὸν ἥκειν φημὶ τὰς βροτῶν τύχας
τόνδ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἔστι δή.
οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας,
χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος,
θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποιεῖ.
οὕτω δὲ θνητῶν σπέρμα· τῶν μὲν εὐτυχεῖ
λαμπρὰ γαλήνη, τῶν δὲ συννεφεῖ πάλιν,
ζῶσίν τε σὺν κακοῖσιν, οἱ δ' ὄλβου μέτα
φθίνουσ' ἐτείοις προσφερεῖς μεταλλαγαῖς.

(E. Fr. Danaë, IV.)

Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι καλῶς.
(E. Heraclid. 745 sqq.)

Ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ,
εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
(E. Fr. Antigone, I.)

Θνητῶν δὲ μῶρος, ὅστις εὖ πράσσειν δοκῶν
βέβαια χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι,
ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε.
(E. Troad. 1203 sqq.)

Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδείς,
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος.
(E. Iphig. A. 161 sqq.)

Θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ.
(Dionys. Tyrann. Stob. CV, 2.)

Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ συμφοραί·
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει.
οἵ τ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς·
ἐξίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
(E. Hercul. Fur. 101 sqq.)

Κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾶν
ἀεί τι δεῖ, καὶ μὴ πιστεύειν τῇ τύχῃ.
(Alexid. Meineke, v. III, p. 521.)

Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν.
(E. Hercul. Fur. 1291 sq.)

Μένει γὰρ οὔτ' αἰόλα
νὺξ βροτοῖσιν, οὔτε Κῆρες, οὔτε πλοῦτος,
ἀλλ' ἄφαρ βέβακε, τῷ δ' ἐπέρχεται χαίρειν τε καὶ στέρεσθαι.
(S. Trach. 132 sqq.)

Μεταβάλλει δυσδαιμονία·
τὸ δὲ μετ' εὐτυχίας κακοῦ-
σθαι θνατοῖς βαρὺς αἰών.
(E. Iphig. T. 1120 sqq.)

Μεταβαλλομένου δαίμονος ἀνέχου·
πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα.
(E. Troad. 102 sq.)

Μὴ λέγε, τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ·
πρὸς τὴν παροῦσαν πάντοθ' ἁρμόζου τύχην.
(Philem. incert. Meinecke, v. IV, p. 59.)

. . . . μὴ
λύπει σεαυτόν, τοῦτο γινώσκων, ὅτι
ὅταν πότ' ἀνθρώποισιν ἡ τύχη γελᾷ,
πάντων ἀφορμὴ τῶν καλῶν εὑρίσκεται·
ὅταν δὲ δυστυχῇ τις, οὐ σ' εὐφραινέτω·
ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

(Philem. incert. Meineke, v. IV, p. 39.)

Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος.

(Isocr. ad Demon.)

Ὁ δ' ὄλβος ὁ μέγας ἥ τε δόξ' οὐκ οἶδ' ὅτῳ
βέβαιός ἐστι.

(E. Hercul. Fur. 511 sq.)

Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.

(E. Phoen. 558 Edi Stibl.)

Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.

(Men. Monost. Meineke, v. IV, p. 352.)

Ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

(Bacchylid. Schneidewin, Delectus, p. 440.)

Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
ἀνὰ δὲ λαῖφος ὥς τις ἀκάτου θοᾶς
τινάξας δαίμων κατέκλυσεν,
δεινῶν πόνων, ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.

(E. Orest. 340 sqq.)

Ὁ μὲν ὄλβιος ἦν, τὸν δ' ἀπέκρυψεν
θεός· ἐκ κείνων τῶν τότε λαμπρῶν
νεύει βίοτος, νεύει δὲ τύχα
κατὰ πνεῦμ' ἀνέμων.

(E. Fr. Androm XXIII.)

Ὅμως δ' ἔνεστιν τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.

(S. Trach. 296 sq.)

Ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους,
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ' ἦρ' ἄνω.

(E. Fr. Ino, XXIII.)

. . . ὅταν δ' ἀνὴρ
πράξῃ καλῶς, ὑψηλὸς εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.

(E. Helen. 417 sqq.)

Οὐδεὶς ἀλύπως τὸν βίον διήγαγεν
ἄνθρωπος ὤν, οὐδὲ μέχρι τοῦ τέλους πάλιν
ἔμεινεν εὐτυχῶν.

(Posidipp. Meineke, v. IV, p. 525.)

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί.
(Simonid. Schneidewin. Delectus, p. 402.)

Οὐδὲν τῶν ἀνθρωπίνων βέβαιόν ἐστιν, ἀλλὰ πάντα φέρεται φορᾷ τινι παραλόγῳ.
(Clitomach. Stob. XCVIII, 67.)

Οὐδέποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον
βέβαιον εἰκάσαι χρεών.
(E. Fr. Archel. XXVI. Ed. Tauchnitz.)

Οὐκ ἔστιν οὐδὲν πιστὸν· οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς πράξαντα μὴ πράξειν κακῶς.
(E. Hecub. 956 sq.)

. . . οὐκ ἔστιν κακὸν
ἀνεπιδόκητον ἀνθρώποις· ὀλίγῳ δὲ χρόνῳ
πάντα μεταῤῥίπτει θεός.
(Simonid. Cei, Schneidewin, Delectus, p. 390.)

Οὐδ' ἔστιν εἰπεῖν ζῶντα, ταῦτ' οὐ πείσομαι.
(Men. Meineke, v. IV, p. 176.)

Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών,
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράσσειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι·
τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
(E. Hecub. 282 sqq.)

Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρός, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπερανθῇ, καὶ τελευτήσῃ βίον·
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις,
ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε.
(S. Fr. 572.)

Οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα
ἕξειν τὸν αὐτὸν δαίμον' εἰσαεὶ δοκεῖν.
ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες
καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι
ἔλεγχον ἔλαβον τὴν τύχην ἐν τῷ παθεῖν.
(E. Fr. incert. XLIII.)

Πάλαι σκοποῦμαι τὰς τύχας τὰς τῶν βροτῶν,
ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
εἰς ὀρθὸν ἔστη, χὼ πρὶν εὐτυχῶν πίτνει.
(E. Fr. Archel. XXVI.)

. . . παρὰ δ' ἄλλαν ἄλλα
μοῖρα διώκει·

τὸν μὲν ἀφ' ὑψηλῶν βραχὺν ᾤκισε,
τὸν δ' ἀλήταν εὐδαίμονα τεύχει.

(E. Heraclid. 611 sqq.)

Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ', ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

(E. Fr. Auge, IX.)

. . . παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.

(Hes. Op. 324.)

Πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
θησαυρὸν εὑρὼν σήμερόν τις αὔριον
ἅπαντα τὰκ τῆς οἰκίας ἀπώλεσεν.

(Philem. Meineke, v. IV, p. 44.)

Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν, μεταβολάς τε τῆς τύχης.

(E. Fr. Oedip. XII.)

Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν τύχη.

(Men. Monost. Meineke, v. IV, p. 358.)

Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος·
ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα,
οὐκ οἶδας ὡς πολλὰς μεταβολὰς ἔχει.
ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.

(Men. Meineke, v. IV, p. 335.)

Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν·
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων,
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ.

(E. Medea, 1224 sqq.)

. . . τά τοι μέγιστα πολλάκις θεὸς
ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.

(E. Fr. Telephus, XXV.)

Ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων.

(E. Hercul. Fur. 884.)

. . . τῇ δὲ νῦν τύχῃ
βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
θανόντ' ἴδῃ τις· ὡς ἐφήμεροι τύχαι.

(E. Heraclid. 863 sqq.)

. . . τίς γὰρ μακάριος; τίς εὐτυχής;
ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει.

(E. Ion. 623 sqq.)

Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν,
ἢ σμικρὸν, ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.

(S. Fr. 93.)

Τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.

(Chaerem. Ecl. I, VIII, 2.)

Τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ' ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ' ἐρείσῃ τοῦ βίου παλίντροπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

(S. Fr. 14.)

. . . τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι, τὸ δὲ μεῖον αὔξων.

(E. Fr. Belleroph. XXVII.)

Τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταῤῥέπει
τὸν εὐτυχοῦντα, τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.

(S. Antigone, 1158 sqq.)

Τύχη μεγαλόδωρος, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μέζον τῆς ἐλπίδος.

(Democr. Stob. Ecl. II, IX, 5.)

. . . τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον.

(Philem. incert. Meineke, v. IV, p. 31.)

. . . τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

(E. Suppl. 269 sq.)

. . . τῶν δ' εὐδαιμόνων
μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ.

(E. Troad. 509 sqq.)

Φεῦ! τὰ τῶν εὐδαιμονούντων ὡς τάχα στρέφει θεός.

(E. Fr. Meleagr. XXI.)

Ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη,
σόν ἐστ' ὄνειδος τοῦθ', ὅταν τις ὢν ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

(Men. Meineke, v. IV, p. 252.)

Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ ἀεὶ τοὺς αὐτοὺς εὐτυχεῖν.

(Herodotus.)

. . . ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ'· ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

(E. Hecub. 56 sqq.)

Ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα μηδέν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

(S. Oedip. R. 1528.)

Vide: *Deus:* Πολλὰ τὸ. — *Divitiae:* Περὶ. — *Exspectatio:* Οὐδ' ὀμόσαι. Τὰ προσπεσόντα. — *Gubernator:* Κυβερνήτην. — *Homo:* Τὸ δὲ. — *Iuventus:* Χαλεπὸν. — *Mater:* Ἄλλοτε. — *Metus:* Τίς δ' ἄν. — *Modus:* Τὰ μεγάλα. — *Nemesis:* Ὅταν. — *Poculum:* Πολλὰ μεταξὺ. — *Spes:* Αἱ μὲν. — *Superbia:* Καὶ σύ. — *Tyrannus:* Ὁρᾷς. — *Vinum:* Πῖνε.

Victoria, Vincere.

Ἀνδρειότερος εἶναί μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν, ἢ τῶν πολεμίων κρατῶν, καὶ γὰρ χαλεπώτατόν ἐστι τὸ ἑαυτὸν νικῆσαι.

(Aristoteles in Frobenii additam.)

. . . αὐτὰρ ὕπερθεν
νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.

(Hom. Il. VII, 101 sq.)

—. . . βούλομαι δ' ἄναξ καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

(S. Philoctet. 94 sq.)

Καλὸν τὸ νικᾶν, ὑπερνικᾶν δὲ σφαλερόν.

(Men. Monost. Meineke, v. IV, p. 348.)

Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδειν.

(Prov.)

— Τὸ νικᾶν αὐτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον.

(Plato, Leg. I.)

Videre (cf. Caecitas).
* **Videri** (cf. Opinio, Apparentia, Veritas, Existimatio).

* Ἐσχάτη γὰρ ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

(Plato, de Republica.)

* Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλω.

(A. Sept. Contr. Theb. 592.)

* Πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους ἀσκέουσιν.

(Democr. Stob. M. Flor. III, 31.)

* Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

(Phocyl. Stob. M. Flor. III, 7.)

Τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ.

(S. Oedip. R. 1334 sq.)

* Vide: *Iustitia:* 'Ανὴρ. — *Miseria:* 'Αλλ'. — *Sapientia:* Δεινὸν, Κέρδιστον. Οἱ πεῖραν. — *Vestitus:* Πρὸς τὸν. — *Virtus:* Ἔργα.

Vinum, * Vinolentia, Ebrietas (cf. Poculum).

. . . αἴνει δὲ παλαιὸν
μὲν οἶνον, ἄνθεα δ' ὕμνων
νεωτέρων.

(Pind. Olym. IX, 73 sqq.)

* Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
αἰσχρὸν δ' εἰ νήφων παρ' μεθύουσι μένει.

(Theognis, 627 sq.)

'Αλλ' οἶνος ἦν· οὐδεὶς δὲ μεθύων, ἂν σκοπῇς,
ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι,
ὅσα μ' οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ·
ὁ πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν.

(Philem. incert. Meineke, v. IV, p. 49.)

Ἅμα δ' οἴνῳ ἐπιόντι παρρησία ἐπέρχεται.

(Prov.)

'Ανδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει.

(Hom. Il. VI, 261.)

Ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί.
ἐμέθυον· ἱκανὴ πρόφασις εἰς θ' ἁμαρτάνειν.

(Philem. incert. Meineke, v. IV, p. 62.)

Ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.

(Hom. Od. XI, 61.)

Ἄτοπον δὲ, τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεὶ
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δὲ
μὴ τὸν παλαιὸν, ἀλλὰ τὸν νεώτερον.

(Athen. I, 25, Meineke, v. III, p. 263.)

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

(Theognis, 497 sq.)

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.

(Eueni Elegia II, Schneidewin, Delectus, p. 134.)

Βότρυος ὑγρὸν πῶμ' . . .
. . . ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε, λήθην τῶν καθ' ἡμέραν κακῶν
δίδωσιν· οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.

(E. Bacch. 279 sqq.)

Δεινὸς γὰρ οἶνος, καὶ παλαίεσθαι βαρύς.

(E. Cycl. 678.)

Δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας,
ἄψ ἀναθερμαίνων ψυχομένην κραδίην.

(Pallad. Anthol. XI, 55.)

Ἐνῆν ἄρ', ὡς ἔοικε, κἀν οἴνῳ λόγος·
ἔνιοι δ' ὕδωρ πίνοντές εἰσ' ἀβέλτεροι.

(Amphis, Meineke, v. III, p. 318.)

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ'· ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ· τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

(Theognis. 499 sqq.)

Εὐξάμενός τι ἔπος ἐρέω· οἶνος γὰρ ἀνώγει
ἠλεός, ὅστ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν,
καί τι ἔπος προέηκεν ὅπερ τ' ἄῤῥητον ἄμεινον.

(Hom. Od. XIV, 463 sqq.)

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὐτήν.
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ' ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

(Anacreon, 19.)

Ἡδύς γε πίνειν οἶνος, Ἀφροδίτης γάλα.

(Ar. Fr. 490.)

. . . ἤ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ,
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.

(Hom. Od. XVIII, 391 sq.)

Ἢ πῖθι, ἢ ἄπιθι.

(Prov. ap. Platonem.)

Θανεῖν γὰρ εἰ πέπρωται, ἐμοὶ γένοιτο πίνειν,
τί χρυσὸς ὠφελεῖ με; πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι.

(Anacreon. 23.)

Θαρσαλέα παρὰ κρητῆρι φωνὰ γίνεται.

(Pind.)

Ἴσαν δ' εἴς τε τὸν ὄλβιον
τόν τε χείρονα δῶκ' ἔχειν
οἴνου τέρψιν ἄλυπον.

(E. Bacch. 421 sqq.)

* Κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν,
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.

(Ar. Vesp. 1253 sqq.)

Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

(A. Fr. 274.)

Κρητὴρ οἴνου πρῶτος μὲν ὑγιείας, δεύτερος δ' ἡδονῆς, τρίτος ὕβρεως, τελευταῖος μανίας ἐστίν.

(Anacharsis, Stob. XVIII. 26.)

Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων,
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

(Eriphus, Meineke, v, III, p. 556.)

*Μεθύοντά τοί με κεῖσθαι
πολὺ μᾶλλον ἢ θανόντα.

(Anacreon. XXVI.)

Μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσῃς, μένεος δ' ἀλκῆς τε λάθωμαι.

(Hom. Il. VI, 264 sq.)

* Μικράν φασιν μανίαν εἶναι τὴν μέθην.

(Chrysipp. Stob. XVIII, 24.)

Οἶνος δίθυρον τὸ στόμα ποιεῖ.

(Phurnutius.)

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔτε ποτ' ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι· τίς ἄν σέ γε μωμήσαιτο;
τίς δ' ἂν ἐπαινήσαι, μέτρον ἔχων σοφίης;

(Theognis, 873 sqq.)

Οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν, ἀποσκεδάσαι μελεδῶνας.

(Iliad. Athen. II, 35.)

Οἶνος γὰρ ἀνθρώποις δίοπτρον.

(Alcaeus, Schneidewin, Delectus, p. 280.)

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

(Theognis, 841 sq.)

* Οἶνός σε τρώει μελιηδὴς, ὅστε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.

(Hom. Od. XXI, 293 sq.)

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
βοῤῥῆς, ἠὲ νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

(Eratosthen. Stob. XVIII, 3.)

Οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

(Sthenel. Athen. X, 428)

Οἶνος πινόμενος πουλὺς κακόν· ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

(Theognis, 509 sqq.)

Οἶνος οὐκ ἔχει πηδάλια.

(Athen.)

Οἶνός μ' ἔπαισε, δαιμόνων ὑπέρτατος.

(Meineke, Fr. incert. v. IV, p. 694.)

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ,
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.

(Epigram. in Cratinum, ap. Athen. II, 39. c.)

. . . οἶνος φιλολόγους
πάντας ποιεῖ τοὺς πλεῖον αὐτὸν
πίνοντας.

(Alexis, Meineke, v. III. p. 513.)

Οἶνος, ὦ φίλε παῖ, λέγεται, καὶ ἀλάθεα βάζει,
κἄμμες χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.

(Theocrit. Idyll. XXIX, 1 sq.)

Οἴνου σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν·
B. οὐκοῦν μεθύοντάς φασι τἀληθῆ λέγειν.

(Ephipp. incert. 4, Meineke, v. III, p. 340.)

Οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις,
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

(E. Bacch. 773 sq.)

Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν.

(Men. Monost. Meineke, v. IV, p. 352.)

Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου,
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά,
αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος.

(Theognis, 479 sqq.)

Ὁ Μνησίθεος ἔφη τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι· τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν.
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν.
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·

ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ.
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.
διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
ἰατρόν· ἡ δὲ Πυθία
εἴρηκέ τισι, Διόνυσον ὑγιάτην καλεῖν.

(Mnesitheus, Meineke, Fr. incert. v. IV, p. 604.)

*Ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ
μέθῃ, ταράσσει καὶ γαληνίζει φρένα,
πάραυτα δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

(E. Fr. incert. 47.)

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,
εὕδουσιν αἱ μέριμναι.

(Anacr. 26.)

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τότε μεῦ ἰανθὲν ἦτορ
Μούσας λιγαίνειν ἄρχεται.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτονται μέριμναι,
πολυφρόντιδές τε βουλαὶ
ἐς ἁλικτύπους ἀήτας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
λυσιπήμων τότε Βάκχος
πολυανθέσιν μ' ἐν ὥραις
δονέει, μέθῃ γανώσας.
. . . .
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τόδ' ἐμοὶ μόνον τὸ κέρδος,
τόδ' ἐγὼ λαβὼν ἀποίσω·
τὸ θανεῖν γὰρ μετὰ πάντα.

(Anacr. 39.)

Οὐ γὰρ τὸ πλῆθος, ἂν σκοπῇ τις, τοῦ ποτοῦ
ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις.

(Men. incert. Meineke, v. IV, p. 256.)

Οὐδεὶς φιλοπότης ἐστὶν ἄνθρωπος κακός.
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.

(Alexid. Meineke, v. III, p. 512.)

Οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν·
ὁ μὲν γὰρ ἀπογηρὰς ἀηδὴς γίγνεται,
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν·
ὁ μὲν δάκνει γὰρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ.

(Alex. Meineke, v. III, p. 512.)

* Οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης
οὐδὲν τοιοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω
λύπην τιν'.

(Amphis, Meineke, v. III, p. 317.)

*Οὐ μόνον, ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίνοιτ' ἂν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

(Plato, Legg. Stob. XVIII, 30.)

* Οὐ συγκαταβαίνω εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.

(Demosthen. Stob. XIX, 4.)

* . . . οὔτε γὰρ νήφοντα δεῖ
οὐδαμοῦ, πάτερ, παροινεῖν, οὔτ' ὅταν πίνειν δέῃ
νοῦν ἔχειν.

(Inc. ap. Meineke, v. II.)

* . . . πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους.

(S. Fr. 668.)

Πῖνε καὶ εὐφραίνου· τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
οὐδεὶς γινώσκει.

(Pallad. Anthol. XI, 56.)

Πίνομεν καὶ παίζομεν, ἴτω διὰ νυκτὸς ἀοιδή.

(Mimnerm.)

Πίνων μὴ πολλὰ λάλει· ἁμαρτήσεις γάρ.

(Chilon, Stob. III, 79.)

Πλέον ἔλαιον οἴνου δαπανᾶν δεῖ.

(Demosthen. Stob. XXIX, 90.)

Πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ.

(Alexid. Meineke, v. III, p. 416.)

Πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;

(Ar. Equit. 88.)

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

(Theognis, 971 sq.)

Τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν' ἡδονὴν ἔχει,
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις;

(Crobyl. Meineke, v. IV, p. 566.)

Τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθύοντος.

(Plutarch. de Garrulitate.)

. . . . τὸ δὲ
ζῆν εἰπέ μοι, τί ἐστί; τὸ πίνειν φήμ' ἐγώ.
ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις, ὅσα
δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν
βρέχεται, μέγεθος καὶ κάλλος οἷα γίγνεται,
τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν τινὰ
ἢ ξηρασίαν σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

(Antiphan. Meineke, v. III, p. 138.)

Τὸ μεθύειν πημονῆς λυτήριον.

(S. Fr. 697.)

. . . τὸ πίνειν πρὸς βίαν
ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.

(S. Fr. 701.)

. . . . φιλεῖ γὰρ ἡ μακρὰ συνουσία
καὶ τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν ποιεῖν
σκῶψιν. ἡ σκῶψις δὲ λυπεῖ πλεῖον, ἢ τέρπει, πολύ·
τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνετ'. ἂν δ' εἴπῃς ἅπαξ,
εὐθὺς ἀντήκουσας, ἤδη λοιδορεῖσθαι λείπεται,
εἶτα τύπτεσθαι δέδεικται, καὶ παροινεῖν.

(Alex. Meineke, v. III, p. 454.)

Χαλεπὸν, ὅταν τις ὧν πίῃ, πλέον λαλῇ,
μηδὲν κατειδώς, ἀλλὰ προσποιούμενος.

(Men. incert. Meineke, v. IV, p. 256.)

. . . [χρὴ] δὲ πάσασθαι
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

(Hom. Il. XIX, 160 sq.)

Ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε
Διόνυσε καὶ σοφώταθ', ὡς ἡδύς τις εἶ·
ὃς τὸν ταπεινὸν μέγα φρονεῖν ποιεῖς μόνος,
τὸν τὰς ὀφρῦς αἴροντα συμπείθεις γελᾶν,
τόν τ' ἀσθενῆ τολμᾶν τι, τὸν δειλὸν θρασύν.

(Diphil. incert. Meineke, v. IV, p. 415.)

Ὡς οὐκ ἀνεκτὸς, ὅστις, ἢ πάροινος ὢν,
ἢ καὶ μεμηνὼς, εἰς μὲν αὑτὸν ἀσφαλὴς
ἀεί ποτ' ἐστιν, εἰς δὲ τοὺς πέλας νοσεῖ.

(Sclerius, Stob. XVIII, 2.)

Virgo, (cf. Femina, Filia, Matrimonium).

. . . θυγάτηρ κτῆμ' ἐστιν ἐργῶδες πατρί.

(Men. Meineke, v. IV, p. 86.)

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὑτῆς λέγει.

(Men. incert. Meineke, v. IV, p. 262.)

. . . πατρὶ δ' οὐδὲν ἥδιον
γέροντι θυγατρός.

(E. Suppl. 1101 sq.)

. . . σὲ βούλομαι,
ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν·
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν.

(E. Fr. Peliad. VI.)

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

(Men. Meineke, v. IV, p. 76.)

Vir, Virilitas (cf. Virtus, Fortis).

Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.

(E. Iphig. T. 57.)

τὸν μὲν ἀφ' ὑψηλῶν βραχὺν ᾤκισε,
τὸν δ' ἀλήταν εὐδαίμονα τεύχει.

(E. Heraclid. 611 sqq.)

Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ', ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

(E. Fr. Auge, IX.)

. . . παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.

(Hes. Op. 324.)

Πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
θησαυρὸν εὑρὼν σήμερόν τις αὔριον
ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν.

(Philem. Meineke, v. IV, p. 44.)

Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν, μεταβολάς τε τῆς τύχης.

(E. Fr. Oedip. XII.)

Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν τύχη.

(Men. Monost. Meineke, v. IV, p. 358.)

Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος·
ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα,
οὐκ οἶδας ὡς πολλὰς μεταβολὰς ἔχει.
ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.

(Men. Meineke, v. IV, p. 335.)

Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν·
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων,
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ.

(E. Medea, 1224 sqq.)

. . . τά τοι μέγιστα πολλάκις θεὸς
ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.

(E. Fr. Telephus, XXV.)

Ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων.

(E. Hercul. Fur. 884.)

. . . τῇ δὲ νῦν τύχῃ
βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
θανόντ' ἴδῃ τις· ὡς ἐφήμεροι τύχαι.

(E. Heraclid. 863 sqq.)

. . . τίς γὰρ μακάριος; τίς εὐτυχής;
ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει.

(E. Ion, 623 sqq.)

Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν,
ἢ σμικρὸν, ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.

(S. Fr. 93.)

Τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.

(Chaerem. Ecl. I, VIII, 2.)

Τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ' ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ' ἐρείσῃ τοῦ βίου παλίντροπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

(S. Fr. 14.)

. . . τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι, τὸ δὲ μεῖον αὔξων.

(E. Fr. Belleroph. XXVII.)

Τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταῤῥέπει
τὸν εὐτυχοῦντα, τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.

(S. Antigone, 1158 sqq.)

Τύχη μεγαλόδωρος, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μέζον τῆς ἐλπίδος.

(Democr. Stob. Ecl. II, IX, 5.)

. . . τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον.

(Philem. incert. Meineke, v. IV, p. 31.)

. . . τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

(E. Suppl. 269 sq.)

. . . τῶν δ' εὐδαιμόνων
μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ.

(E. Troad. 509 sqq.)

Φεῦ! τὰ τῶν εὐδαιμονούντων ὡς τάχα στρέφει θεός.

(E. Fr. Meleagr. XXI.)

Ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη,
σόν ἐστ' ὄνειδος τοῦθ', ὅταν τις ὢν ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

(Men. Meineke, v. IV, p. 252.)

Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

(Men. Monost. Meineke, v. IV, p. 361.)

Ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ ἀεὶ τοὺς αὐτοὺς εὐτυχεῖν.

(Herodotus.)

. . . ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ᾿· ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ᾿ εὐπραξίας.

(E. Hecub. 56 sqq.)

Ὥστε θνητὸν ὄντ᾿ ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα μηδέν᾿ ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

(S. Oedip. R. 1528.)

Vide: *Deus:* Πολλὰ τὸ. — *Divitiae:* Περὶ. — *Exspectatio:* Οὐδ᾿ ὀμόσαι. Τὰ προσπεσόντα. — *Gubernator:* Κυβερνήτην. — *Homo:* Τὸ δὲ. — *Iuventus:* Χαλεπὸν. — *Mater:* Ἄλλοτε. — *Metus:* Τίς δ᾿ ἄν. — *Modus:* Τὰ μεγάλα. — *Nemesis:* Ὅταν. — *Poculum:* Πολλὰ μεταξὺ. — *Spes:* Αἱ μὲν. — *Superbia:* Καὶ σὺ. — *Tyrannus:* Ὁρᾷς. — *Vinum:* Πῖνε.

Victoria, Vincere.

Ἀνδρειότερος εἶναί μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν, ἢ τῶν πολεμίων κρατῶν, καὶ γὰρ χαλεπώτατόν ἐστι τὸ ἑαυτὸν νικῆσαι.

(Aristoteles in Frobenii additam.)

. . . αὐτὰρ ὕπερθεν
νίκης πείρατ᾿ ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.

(Hom. Il. VII, 101 sq.)

—. . . βούλομαι δ᾿ ἄναξ καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

(S. Philoctet. 94 sq.)

Καλὸν τὸ νικᾶν, ὑπερνικᾶν δὲ σφαλερόν.

(Men. Monost. Meineke, v. IV, p. 348.)

Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδειν.

(Prov.)

— Τὸ νικᾶν αὐτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ᾿ ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον.

(Plato, Leg. I.)

Videre (cf. Caecitas).

* **Videri** (cf. Opinio, Apparentia, Veritas, Existimatio).

* Ἐσχάτη γὰρ ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

(Plato, de Republica.)

* Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ᾿ εἶναι θέλω.

(A. Sept. Contr. Theb. 592.)

* Πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους ἀσκέουσιν.

(Democr. Stob. M. Flor. III, 31.)

* Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

(Phocyl. Stob. M. Flor. III, 7.)

Τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ.

(S. Oedip. R. 1334 sq.)

* Vide: *Iustitia:* 'Ανὴρ. — *Miseria:* 'Αλλ'. — *Sapientia:* Δεινὸν, Κέρδιστον. Οἱ πεῖραν. — *Vestitus:* Πρὸς τὸν. — *Virtus:* Ἔργα.

Vinum, *Vinolentia, Ebrietas (cf. Poculum).

. . . αἴνει δὲ παλαιὸν
μὲν οἶνον, ἄνθεα δ' ὕμνων
νεωτέρων.

(Pind. Olym. IX, 73 sqq.)

* Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
αἰσχρὸν δ' εἰ νήφων παρ' μεθύουσι μένει.

(Theognis, 627 sq.)

'Αλλ' οἶνος ἦν· οὐδεὶς δὲ μεθύων, ἂν σκοπῇς,
ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι,
ὅσα μ' οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ·
ὁ πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν.

(Philem. incert. Meineke, v. IV, p. 49.)

Ἅμα δ' οἴνῳ ἐπιόντι παῤῥησία ἐπέρχεται.

(Prov.)

'Ανδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει.

(Hom. Il. VI, 261.)

Ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί.
ἐμέθυον· ἱκανὴ πρόφασις εἰς θ' ἁμαρτάνειν.

(Philem. incert. Meineke, v. IV, p. 62.)

Ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.

(Hom. Od. XI, 61.)

Ἄτοπον δὲ, τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεὶ
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δὲ
μὴ τὸν παλαιὸν, ἀλλὰ τὸν νεώτερον.

(Athen. I, 25, Meineke, v. III, p. 263.)

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

(Theognis, 497 sq.)

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.

(Eueni Elegia II, Schneidewin, Delectus, p. 134.)

Βότρυος ὑγρὸν πῶμ' . . .
. . . ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε, λήθην τῶν καθ' ἡμέραν κακῶν
δίδωσιν· οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.

(E. Bacch. 279 sqq.)

Δεινὸς γὰρ οἶνος, καὶ παλαίεσθαι βαρύς.

(E. Cycl. 678.)

Δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας,
ἄψ ἀναθερμαίνων ψυχομένην κραδίην.

(Pallad. Anthol. XI, 55.)

Ἐνῆν ἄρ', ὡς ἔοικε, κἀν οἴνῳ λόγος·
ἔνιοι δ' ὕδωρ πίνοντές εἰσ' ἀβέλτεροι.

(Amphis, Meineke, v. III, p. 318.)

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ'· ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ· τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

(Theognis, 499 sqq.)

Εὐξάμενός τι ἔπος ἐρέω· οἶνος γὰρ ἀνώγει
ἠλεὸς, ὅστ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν,
καί τι ἔπος προέηκεν ὅπερ τ' ἄῤῥητον ἄμεινον.

(Hom. Od. XIV, 463 sqq.)

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὐτήν.
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ' ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

(Anacreon, 19.)

Ἡδύς γε πίνειν οἶνος, Ἀφροδίτης γάλα.

(Ar. Fr. 490.)

. . . ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ,
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.

(Hom. Od. XVIII, 391 sq.)

Ἢ πῖθι, ἢ ἄπιθι.

(Prov. ap. Platonem.)

Θανεῖν γὰρ εἰ πέπρωται, ἐμοὶ γένοιτο πίνειν,
τί χρυσὸς ὠφελεῖ με; πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι.

(Anacreon, 23.)

Θαρσαλέα παρὰ κρητῆρι φωνὰ γίνεται.

(Pind.)

Ἴσαν δ' εἴς τε τὸν ὄλβιον
τόν τε χείρονα δῶχ' ἔχειν
οἴνου τέρψιν ἄλυπον.

(E. Bacch. 421 sqq.)

* Καλὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν,
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.

(Ar. Vesp. 1253 sqq.)

Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

(A. Fr. 274.)

Κρητὴρ οἴνου πρῶτος μὲν ὑγιείας, δεύτερος δ' ἡδονῆς, τρίτος ὕβρεως, τελευταῖος μανίας ἐστίν.

(Anacharsis, Stob. XVIII. 26.)

Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων,
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

(Eriphus, Meineke, v, III, p. 556.)

*Μεθύοντά τοί με κεῖσθαι
πολὺ μᾶλλον ἢ θανόντα.

(Anacreon. XXVI.)

Μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσῃς, μένεος δ' ἀλκῆς τε λάθωμαι.

(Hom. Il. VI, 264 sq.)

* Μικράν φασιν μανίαν εἶναι τὴν μέθην.

(Chrysipp. Stob. XVIII, 24.)

Οἶνος δίθυρον τὸ στόμα ποιεῖ.

(Phurnutius.)

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
    οὔτε ποτ' ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι· τίς ἄν σέ γε μωμήσαιτο;
    τίς δ' ἄν ἐπαινήσαι, μέτρον ἔχων σοφίης;

(Theognis, 873 sqq.)

Οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν, ἀποσκεδάσαι μελεδῶνας.

(Iliad. Athen. II, 35.)

Οἶνος γὰρ ἀνθρώποις δίοπτρον.

(Alcaeus, Schneidewin, Delectus, p. 280.)

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
    εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

(Theognis, 841 sq.)

* Οἶνός σε τρώει μελιηδής, ὅστε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.

(Hom. Od. XXI, 293 sq.)

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα
    ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
βορῥῆς, ἠὲ νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
    βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

(Eratosthen. Stob. XVIII, 3.)

Οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

(Sthenel. Athen. X, 428)

Οἶνος πινόμενος πουλὺς κακόν· ἣν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

(Theognis, 509 sqq.)

Οἶνος οὐκ ἔχει πηδάλια.

(Athen.)

Οἶνός μ' ἔπαισε, δαιμόνων ὑπέρτατος.

(Meineke, Fr. incert. v. IV, p. 694.)

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ,
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.

(Epigram. in Cratinum, ap. Athen. II, 39. c.)

. . . οἶνος φιλολόγους
πάντας ποιεῖ τοὺς πλεῖον αὐτὸν
πίνοντας.

(Alexis, Meineke, v. III, p. 513.)

Οἶνος, ὦ φίλε παῖ, λέγεται, καὶ ἀλάθεα βάζει,
κἄμμες χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.

(Theocrit. Idyll. XXIX, 1 sq.)

Οἴνου σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν·
B. οὐκοῦν μεθύοντάς φασι τἀληθῆ λέγειν.

(Ephipp. incert. 4, Meineke, v. III, p. 340.)

Οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις,
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

(E. Bacch. 773 sq.)

Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν.

(Men. Monost. Meineke, v. IV, p. 352.)

Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου,
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά,
αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος.

(Theognis, 479 sqq.)

Ὁ Μνησίθεος ἔφη τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι· τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν.
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν.
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·

ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ.
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.
διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
ἰατρόν· ἡ δὲ Πυθία
εἴρηκέ τισι, Διόνυσον ὑγιάτην καλεῖν.

(Mnesitheus, Meineke, Fr. incert. v. IV, p. 604.)

*Ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ
μέθῃ, ταράσσει καὶ γαληνίζει φρένα,
παραυτα δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

(E. Fr. incert. 47.)

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,
εὕδουσιν αἱ μέριμναι.

(Anacr. 26.)

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τότε μεῦ ἰανθὲν ἦτορ
Μούσας λιγαίνειν ἄρχεται.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτονται μέριμναι,
πολυφρόντιδές τε βουλαὶ
ἐς ἁλικτύπους ἀήτας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
λυσιπήμων τότε Βάκχος
πολυανθέσιν μ' ἐν ὥραις
δονέει, μέθῃ γανώσας.
. . . .
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τόδ' ἐμοὶ μόνον τὸ κέρδος,
τόδ' ἐγὼ λαβὼν ἀποίσω·
τὸ θανεῖν γὰρ μετὰ πάντα.

(Anacr. 39.)

Οὐ γὰρ τὸ πλῆθος, ἂν σκοπῇ τις, τοῦ ποτοῦ
ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις.

(Men. incert. Meineke, v. IV, p. 256.)

Οὐδεὶς φιλοπότης ἐστὶν ἄνθρωπος κακός.
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.

(Alexid. Meineke, v. III, p. 512.)

Οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν·
ὁ μὲν γὰρ ἀπογηρὰς ἀηδὴς γίγνεται,
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν·
ὁ μὲν δάκνει γάρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ.

(Alex. Meineke, v. III, p. 512.)

*Οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης
οὐδὲν τοιοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω
λύπην τιν'.

(Amphis, Meineke, v. III, p. 317.)

*Οὐ μόνον, ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

(Plato, Legg. Stob. XVIII, 30.)

*Οὐ συγκαταβαίνω εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.

(Demosthen. Stob. XIX, 4.)

*. . . οὔτε γὰρ νήφοντα δεῖ
οὐδαμοῦ, πάτερ, παροινεῖν, οὔτ' ὅταν πίνειν δέῃ
νοῦν ἔχειν.

(Inc. ap. Meineke, v. II.)

*. . . πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους.

(S. Fr. 663.)

Πῖνε καὶ εὐφραίνου· τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
οὐδεὶς γινώσκει.

(Pallad. Anthol. XI, 56.)

Πίνομεν καὶ παίζομεν, ἴτω διὰ νυκτὸς ἀοιδή.

(Mimnerm.)

Πίνων μὴ πολλὰ λάλει· ἁμαρτήσεις γάρ.

(Chilon, Stob. III, 79.)

Πλέον ἔλαιον οἴνου δαπανᾶν δεῖ.

(Demosthen. Stob. XXIX, 90.)

Πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ.

(Alexid. Meineke, v. III, p. 416.)

Πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;

(Ar. Equit. 88.)

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

(Theognis. 971 sq.)

Τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν' ἡδονὴν ἔχει,
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις;

(Crobyl. Meineke, v. IV, p. 566.)

Τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθύοντος.

(Plutarch. de Garrulitate.)

. . . . τὸ δὲ
ζῆν εἰπέ μοι, τί ἐστί; τὸ πίνειν φήμ' ἐγώ.
ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις, ὅσα
δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν
βρέχεται, μέγεθος καὶ κάλλος οἷα γίγνεται,
τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν τινὰ
ἢ ξηρασίαν σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

(Antiphan. Meineke, v. III, p. 138.)

Τὸ μεθύειν πημονῆς λυτήριον.

(S. Fr. 697.)

. . . τὸ πίνειν πρὸς βίαν
ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.

(S. Fr. 701.)

. . . . φιλεῖ γὰρ ἡ μακρὰ συνουσία
καὶ τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν ποιεῖν
σκῶψιν. ἡ σκῶψις δὲ λυπεῖ πλεῖον, ἢ τέρπει, πολύ·
τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνετ'. ἂν δ' εἴπῃς ἅπαξ,
εὐθὺς ἀντήκουσας, ἤδη λοιδορεῖσθαι λείπεται,
εἶτα τύπτεσθαι δέδεικται, καὶ παροινεῖν.

(Alex. Meineke, v. III, p. 454.)

Χαλεπὸν, ὅταν τις ὢν πίῃ, πλέον λαλῇ,
μηδὲν κατειδὼς, ἀλλὰ προσποιούμενος.

(Men. incert. Meineke, v. IV, p. 256.)

. . . [χρὴ] δὲ πάσασθαι
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

(Hom. Il. XIX, 160 sq.)

Ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε
Διόνυσε καὶ σοφώταθ', ὡς ἡδύς τις εἶ·
ὃς τὸν ταπεινὸν μέγα φρονεῖν ποιεῖς μόνος,
τὸν τὰς ὀφρῦς αἴροντα συμπείθεις γελᾶν,
τόν τ' ἀσθενῆ τολμᾶν τι, τὸν δειλὸν θρασύν.

(Diphil. incert. Meineke, v. IV, p. 415.)

Ὡς οὐκ ἀνεκτὸς, ὅστις, ἢ πάροινος ὢν,
ἢ καὶ μεμηνὼς, εἰς μὲν αὐτὸν ἀσφαλὴς
ἀεί ποτ' ἐστιν, εἰς δὲ τοὺς πέλας νοσεῖ.

(Sclerius, Stob. XVIII, 2.)

Virgo, (cf. Femina, Filia, Matrimonium).

. . . θυγάτηρ κτῆμ' ἐστιν ἐργῶδες πατρί.

(Men. Meineke, v. IV, p. 86.)

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὑτῆς λέγει.

(Men. incert. Meineke, v. IV, p. 262.)

. . . πατρὶ δ' οὐδὲν ἥδιον
γέροντι θυγατρός.

(E. Suppl. 1101 sq.)

. . . σὲ βούλομαι,
ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν·
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν.

(E. Fr. Peliad. VI.)

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

(Men. Meineke, v. IV, p. 76.)

Vir, Virilitas (cf. Virtus, Fortis).

Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.

(E. Iphig. T. 57.)

Virtus (cf. Vitium, Fortitudo, Iustitia, Bonum).

Ἁ δ' ἀρετὰ βαίνει διὰ μόχθων.

(E. Heraclid. 625.)

— Αἱ μὲν ἡδοναὶ θνηταί, αἱ δ' ἀρεταὶ ἀθάνατοι.

(Periander.)

Αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ
κακὸς κεκλῆσθαι πᾶς τις.

(E. Suppl. 912 sq.)

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὅ τ' αἰσχρὸν ἔῃ.

(Theognis, 465.)

Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι.

(E. Fr. Antigone, XII.)

. . . ἀρετὰ γὰρ ἐπαινουμένα
δένδρον ὡς ἀέξεται.

(Incerti Auctoris apud Clem. Alex. Paedag. 154.)

Ἀρεταὶ δ' ἀεὶ μεγάλαι πολύμυθοι.

(Pind. Pyth. IX, 133.)

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ·
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζηλωτός.

(Aristoteles Paian. Stob. I, 12.)

— Ἀρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται,
ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ
ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.

(E. Fr. Temenus, I.)

Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.

(E. Fr. incert. VI.)

— Ἀρετῇ μὲν θαρσητέον ὡς σώφρονι γαμετῇ, τύχῃ δ' ὡς ἀστάτῳ πιστευτέον ἑταίρῳ.

(Iamblich.)

Ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι.

(S. Fr. 202.)

Βαστάζουσιν ἄχθος μέγιστον οἱ φιλάρετοι.

(Philo.)

Βούλου νικᾶν δι' ἀρετήν, οὐ διὰ τύχην.

(Demosth.)

Δίζησθαι βιοτήν, ἀρετὴν δὲ ὅταν βίος εἴη.

(Diogenian.)

Ἐγὼ δὲ μίαν εὐγένειαν ἀρετὴν οἶδα, τὰ δ' ἄλλα πάντα τύχην.

(Phalaris, Stob. LXXXVI, 17.)

Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον.

(Bacchyl. Stob. I, 9.)

Ἐκ θεῶν γὰρ μαχαναὶ· πᾶ-
σαι βροτέαις ἀρεταῖς
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν.

(Pindar. Pyth. I. 78. sqq.)

Ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λόγους ζηλεύειν χρεών.

(Democr. Stob. Manuscript. Florent. III, 34.)

Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,
ὅππως κεν ἐθέλῃσιν.

(Hom. Il. XX, 242.)

Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει· πλούτου δὲ κρείττων χρησιμωτέρα εὐγενείας ἐστί.

(Isocr. Dem.)

Κηρύσσεται μὲν ἡ 'ρετή· κακὸς δ' ἀνὴρ
σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον.

(Zenodotus, Stob. II, 12.)

Μηδέν ἐστι κερδαλεώτερον ἀρετῆς.

(Cyrus.)

Μί' ἐστὶν ἀρετή, τὸν ἄτοπον φεύγειν ἀεί.

(Men. Monost. Meineke, v. IV, p. 349.)

Νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ.

(S. Aias, 1357.)

Ὀθούνεκ' ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη
οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει,
αὐτὴ δ' ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει.

(Clem. Alex. Strom. IV, c. VII, § 56.)

(Ὁ πλοῦτος) ἄνευ δ' ἀρετᾶς οὐκ ἀσινὴς πάροικος·
ἁ δ' ἐξ ἀμφοτέρων κρᾶσις ἔχῃ εὐδαιμονίας τὸ ἄκρον.

(Sappho, 83, Schneidewin, Delectus, p. 320.)

Ὅσαι δὲ ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει καὶ μελέτῃ αὐξανομένας.

(Xen. Mem.)

Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον·
οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων
οὔτ' ἀσφαλείας, οὔτε θωπείας ὄχλου. —
Ἀρετὴ δ', ὅσῳπερ μᾶλλον ἂν χρῆσθαι θέλῃς,
τοσῷδε μᾶλλον αὔξεται λειουμένη.

(E. Fr. incert. V.)

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

(Callimach. in Iovem 95.)

. . . οὔτις ἄνευ θεῶν
ἀρετὰν λάβεν, οὐ πόλις, οὐ βροτός.

Θεὸς ὁ πάμμητις· ἀπήμαντον γὰρ οὐδὲν
ἔστιν ἐν θνατοῖς.

(Simonid. Cei 21, Schneidewin, Delectus, p. 386.)

. . . οὔτοι
λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει.
κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον ἔχειν ἢ ξὺν φθόνῳ σφάλλειν δυνάμει τε δίκαν.

(E. Androm. 773 sqq.)

Οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν καὶ βέβαιον μόνον· τὰ δ' ἄλλα λῆρον.

(Pythag. Stob. I, 29.)

Πᾶς ὅτ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.

(Plato, Leg.)

. . . πιστὸν φάσομεν
κῦδος ἔχειν ἀρετάν· πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.

(Bacchylid. Schneidewin, Delectus, p. 440.)

Ποῦ τὸ τᾶς αἰδοῦς ἢ τὸ τᾶς
ἀρετᾶς δύνασιν ἔχει
σθένειν τι πρόσωπον;
ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
δύναμιν, ἁ δ' ἀρετὰ κατόπι-
σθεν θνατοῖς ἀμελεῖται,
ἀνομία δὲ νόμων κρατεῖ.

(E. Iphig. A. 1089 sqq.)

Τὰ κακῶς τρέφοντα χωρί' ἀνδρείους ποιεῖ.

(Men. incert. Meineke, v. IV, p. 87.)

Τῆς Ἀρετῆς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστιν.

(Isocr. Demon.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον. ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

(Hes. Op. 287 sqq.)

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀεννάῳ πηγῇ, καὶ γὰρ καθαρὸν καὶ ἀτάραχον καὶ πότιμον καὶ νόστιμον καὶ κοινωνικὸν καὶ πλούσιον καὶ ἀβλαβὲς καὶ ἀνώλεθρον.

(Epictet. Stob. I, 47.)

Ὦ τλῆμον ἀρετὴ, λόγος ἄρ' ἦσθ', ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν· σὺ δὲ δούλευες τύχῃ.

(Dio Cass. XXXXVII, 49, Brutus dixisse fatur.)

Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας!

(Hom. Il. XV, 561 sq.)

Vide: *Divitiae:* Οὐκ ἐκ, Πλήθει, Πολλοί. — *Nobilitas:* Τί γάρ. — *Pecunia:* Οὔτοι. — *Pudor:* Ταμεῖον. — *Pulcher:* Οὐ τὸ. — *Socius:* Οὔτε. — *Utilitas:* Οὐ γάρ.

Vita (cf. Mors, Homo, Anima, Sors, Vicissitudo, Tempus, Senectus), *Victus.

— Αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.

(Isocr. Nicocl. 10.)

Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή.

(S. Aias. 473 sqq.)

— Ἀλλ' ἡνίκ' ἂν μὲν ᾖ πρόσω τὸ κατθανεῖν,
ᾅδης ποθεῖται τοῖς δεδυστυχηκόσιν.
ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν· οὐ γάρ ἐστ' αὐτοῦ κόρος.

(Lycophron. Stob. CXIX, 13.)

· Ἀστοργίαν ἔχει τιν' ὁ σκληρὸς βίος.

(Men. Meineke, v. IV, p. 224.)

Ἀτέκμαρτος (γὰρ) ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστὸν, πλανᾶται συντυχίαις·
ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς
οἶδεν οὐδεὶς θνατὸς ὅπα φέρεται.

(Simonid. Cei. Schneidewin, Delectus, p. 393.)

Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος κέκληται δ' ὃς βίᾳ πορίζεται.
Βίου δικαίου γίγνεται τέλος καλόν.

(Men. Monost. Meineke, v. IV, p. 312 et 359.)

Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

(Hom. Od. XI, 489 sqq.)

Βραχὺς αἰών· ἐπὶ τούτῳ δέ τις ἂν μεγάλα διώκων τὰ παρόντ' οὐχὶ φέροι.

(E. Bacch. 395.)

Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός.

(Apollonius, Stob. CXXI, 34.)

Βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.

(E. Orest. 981.)

Εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων.

(Bion. Idyl. V, 8.)

Εἰκῆ κράτιστον ζῆν, ὅπως δύναιτό τις.

(S. Oedip. R. 979.)

Εἰσί τινες οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται.. .

(Antiphon. Stob. XVI, 19.)

Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι τόπον.

(Aristonym. Stob. CVI, 14.)

— Ζῆν βουλόμενος, μὴ πρᾶττε θανάτου ἄξια.
ζῶμεν γὰρ οὐχ', ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεσθα.

(Men. Monost. Meineke, v. IV, p. 345.)

Θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

(Bacchyl. Schneidewin, Delectus, p. 440.)

Κοινὸν τοῦτο καὶ πρὸς πάντων θρυλούμενον
παρεπιδημία τίς ἐστιν ὁ βίος.

(Plato)

Μή μοι, τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
νικᾶν δοκείτω τὴν δίκην, πρὶν ἂν πέλας
γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.

(E. Electra, 954 sqq.)

Μικρόν τι τὸ βίου, καὶ στενὸν ζῶμεν χρόνον.

(Men. Meineke, v. IV, p. 194.)

. . . μικρὰ μὲν τὰ τοῦ βίου·
τοῦτον δ' ὅπως ἥδιστα διαπεράσετε,
ἐξ ἡμέρας ἐς νύκτα μὴ λυπούμενοι.

(E. Hercul. Fur. 503 sqq.)

— Μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν·
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔρρειν κἀκποδὼν εἶναι νέοις.

(E. Suppl. 1109 sqq.)

Ὁ μὲν βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξύς.

(Hippocrat.)

Οἴμοι· τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε,
νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν;
ἀλλ' ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχῃ,
γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα,
αἰῶνα δ' οὐκ ἔξεστιν. εἰ δ' ἦμεν νέοι
δὶς καὶ γέροντες, εἴ τις ἐξημάρτανε,
διπλοῦ βίου λαχόντες ἐξωρθούμεθ' ἄν.

(E. Suppl. 1080 sqq.)

Ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, ἴδες, ἀπῆλθες.
Ὁ κόσμος ἀλλοίωσις· ὁ βίος ὑπόληψις.

(Democr. Sent. Aur. 84 sq.)

Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.

(S. Fr. 689.)

Ὅστις τοῦ πλέονος μέρους
χρῄζει τοῦ μετρίου παρεὶς
ζώειν, σκαιοσύναν φυλάσσων
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρ-
ποντα δ' οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ
τοῦ θέλοντος· ὁ δ' ἐπίκουρος ἰσοτέλεστος
Ἄϊδος ὅτε Μοῖρ' ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.

(S. Oed. Col. 1211 sqq.)

Ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάῤῥῳ ποταμῷ· καὶ γὰρ ταραχώδης καὶ ἰλύος ἀνάμεστος καὶ δυσέμβατος καὶ τυραννικὸς καὶ πολύηχος καὶ ὀλιγοχρόνιος.

(Epictet. Stob. I, 46.)

Οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

(E. Alcest. 802.)

Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι.

(Hom. Il. IX, 401 sq.)

Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ
οὐδ' ἂν γένοιτο. πολλὰ ποικίλλει χρόνος
παράδοξα καὶ θαυμαστὰ καὶ ζώντων τρόποι.

(Men. incert. Meineke, v. IV, p. 247.)

Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενός.

(Men. Meineke, v. IV, p. 195.)

Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην βιῶσαι.

(Musonius, Stob. I, 83.)

*—*Οὐκοῦν τὸ μὴ ζῆν κρεῖττόν ἐστ' ἢ ζῆν κακῶς.

(E. Fr. Perith. VIII.)

Οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ ζῆν, μὴ λάθῃς, τοῦτον εἰς αἰνίγματα καὶ λήρους ἀναλώσας.

(Alciphron. Ep. 1.)

Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπίκαιρον.
(Phocyl. Admon. 109.)

Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.
(Plato, Crit. 48. 8.)

Οὕτως πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.
(Bias.)

Παλαίσμαθ' ἡμῶν ὁ βίος, εὐτυχοῦσι δὲ
οἱ μὲν τάχ', οἱ δ' ἐσαῦθις, οἱ δ' ἤδη βροτῶν.
(E. Suppl. 550 sq.)

Πᾶς ἀνὴρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
(E. Orest. 1523 sq.)

Πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
κοὐκ ἔστι πόνων ἀνάπαυσις.
(E. Hippol. 190 sq.)

*—*Πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
τοὐφήμερον ζῆν ἡδέως· ὁ γὰρ θανὼν
τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός.
μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.
(Athen. VIII, 336.)

— Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν·
οἱ μὲν ἐπ' εὐπλοΐην, οἱ δ' ἔμπαλιν· ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.
(Pallad. Anthol. X, 65.)

* Πολλὰ διδάσκει μ' ὁ πολὺς βιότος.
(E. Hippol. 252.)

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον· ἢ μάθε παίζειν,
τὴν σπουδὴν μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.
(Pallad. Anthol. X, 72.)

Σμικρὸν τὸ χρῆμα τοῦ βίου· τοῦτον δὲ χρὴ
ὡς ῥᾷστα καὶ μὴ σὺν πόνοις διεκπερᾶν.
(E. Suppl. 953 sq.)

Στράτειά τίς ἐστιν ὁ βίος ἑκάστου, καὶ αὐτὴ μακρὰ καὶ ποικίλη.
(Arrhian.)

Τάν τ' ἀνθρώπου ζόαν
ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.
(S. Fr. 519.)

Τί ζῆν ὄφελος, ᾧ μή 'στι τὸ ζῆν εἰδέναι;
(Philem. incert. Meineke, v. IV, p. 49.)

. . . τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
κακῶς κλύοντι καὶ κακῶς πεπραγότι;
(E. Alcest. 960 sq.)

. . . τὸ γὰρ ὕστατον
τρέχων δίαυλον τοῦ βίου ζῆν βούλομαι.
(Alexis, Meineke, v. III, p. 490.)

Τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

(E. Hecub. 378.)

Τὸ γὰρ κενὸν τοῦ βίου πλεῖον τοῦ συμφέροντος.

(Theophrast.)

— Τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
πᾶς ὁ βίος τοιόσδε, ῥοπὴ μόνον· ἂν προλάβῃς, σοῦ.
ἂν δὲ θάνῃς, ἑτέρου πάντα, σὺ δ' οὐδὲν ἔχεις.

(Anthol. XI, 56.)

Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου, γύναι,
εὐφραινόμεσθ' ἔλαττον ἢ λυπούμεθα.

(Philem. incert. Meineke, v. IV, p. 56.)

Τοιοῦτο τὸ ζῆν ἐστιν, ὥσπερ οἱ κύβοι,
οὐ ταὔτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει.

(Alexid. Meineke, v. III, p. 399.)

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐστιν·
  τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

(Lucian, Anthol. X, 28.)

Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος, στιγμή· ἡ δὲ οὐσία ῥέουσα· ἡ δὲ αἴσθησις ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος· ἡ δὲ ψυχῆς ῥόμβος· ἡ δὲ τύχη δυστέκμαρτον· ἡ δὲ φήμη ἄκριτον, συνελόντι δὲ εἰπεῖν· πάντα τὰ μὲν τοῦ σώματος ποταμός· τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τῦφος· ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία· ἡ ὑστεροφημία δὲ λήθη.

(Marc. Antonin. II, 17.)

Τοῦ βίου, καθάπερ ἀγάλματος, πάντα τὰ μέρη καλὰ εἶναι δεῖ.

(Socr. ap. Stob. I, 33.)

Τοῦτ' ἐστὶ τὸ ζῆν, οὐχ ἑαυτῷ ζῆν μόνον.

(Men. Meineke, v. IV, p. 290.)

Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.

(Men. Meineke, v. IV, p. 203.)

Τρόχος ἅμαρτος γὰρ οἷα, βίοτος τρέχει κυλισθείς.

(Prov.)

Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίος.

(Men. Monost. Meineke, v. IV, p. 354.)

Ὦ Ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;

(Euphr. Meineke, v. IV, p. 490.)

Ὦ πολύμοχθος βιοτὰ θνητοῖς,
ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι,
καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις,
κοὐκ ἔστιν ὅρος κείμενος οὐδείς,
εἰς ὅντινα χρὴ τελέσαι θνητοῖς,
πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν
θανάτου πεμφθεῖσα τελευτή.

(E. Fr. incert. 108.)

Ὡς ἡδὺς ὁ βίος, ἂν τις αὐτὸν μὴ μάθῃ.

(Men. Monost. Meineke, v. IV, p. 361.)

. . . . ὥσπερ τῶν χορῶν
οὐ πάντες ᾄδουσ', ἀλλ' ἄφωνοι δύο τινὲς
ἢ τρεῖς παρεστήκασι πάντων ἔσχατοι
εἰς τὸν ἀριθμόν, καὶ τοῦθ' ὁμοίως πως ἔχει
χώραν κατέχουσι, ζῶσι δ' οἷς ἔστιν βίος.

(Men. Meineke, v. IV, p. 117.)

Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος
ὁ μικρὸς εὐκρὰς ἐγένεθ', οἷς δ' ὄγκος κακόν.

(E. Fr. Mel. Vinct. XXV.)

Vitium, Culpa, Malitia (cf. Virtus).

Ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πάντα τὰ λυμαινόμεν' ἔστιν ἔνδοθεν.

(Men. incert. Meineke, v. IV, p. 235.)

Vituperatio, Convicium, Maledictio.

Δύσμορφος εἴην μᾶλλον ἢ κακήλογος.

(Men. Monost. Meineke, v. IV, p. 343.)

Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἐστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν·
ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

(Philem. Meineke, v. IV, p. 9.)

Κακῶς ἀκούων ὅστις οὐκ ὀργίζεται,
πονηρίας πλείστης τεκμήριον φέρει.

(Men. incert. Meineke, v. IV, p. 273.)

Μὴ κακολόγει τοὺς πλησίους, εἰ δὲ μή, ἀκούσῃ ἐφ' οἷς λυπήσῃ.

(Chilon.)

Φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει τῶν λοιδορῶν καὶ τῶν κατηγορῶν ἀκούειν ἡδέως.

(Demosth.)

Voluntas, *Voluntarius (cf. Desiderium).

Εἰ πάντες ἀποθανούμεθ' οἷς μὴ γίγνεται,
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.

(Philem. Meineke, v. IV, p. 21.)

Ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεσθα, δεῖ βούλεσθαι ὡς γίνεται.

(Aristoteles.)

Μὴ ζήτει τὰ γιγνόμενα γίγνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε ὡς τὰ γιγνόμενα γίγνεται· καὶ εὐροήσεις.

(Epictet. Enchirid. c. 8, Stob. Ecl. II, VII, 23.)

Vide: **Malum:* Τὰ πλεῖστα, Τῶν δὲ. — *Vita:* Ζῶμεν. — *Utilis:* Μή τοι.

Voluptas (cf. Laetitia, Cupiditas, Dolor).

Ἀνὴρ γὰρ, ὅστις εὖ βίον κεκτημένος,
τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ,
μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

(E. Fr. Antiope, XXIII.)

Ἅπανθ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει
τὸν κοινὸν ἡμῖν, δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς.

(Men. incert. Meineke, v. IV, p. 266.)

Βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.

(E. Fr. Erechth. ap. Stob. III, 18.)

. . . βραχεῖα τέρψις ἡδονῆς κακῆς.

(E. Fr. Erechth. XX, 23.)

Εὔφραινε σαυτὸν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου σὸν, τὰ δ' ἄλλα τῆς τύχης.

(E. Alcest. 788 sq.)

Ἡδοναὶ ἄκαιροι τίκτουσιν ἀηδίας.

(Democr. Sent. Aur. 36. Or. 1.)

Ἡδονὰς διώκειν προπετῶς λύπας ἐστὶ θηρεύειν.

(Incerti Auctoris.)

Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

(Antisth. Stob. XXIX, 65.)

Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών.

(Democr. Stob. V, 77.)

Ἡδονὴν φεῦγε· αὕτη γὰρ λύπην τίκτει.

(Solon. Stob. III, 79, β.)

Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει·
λάγνης γυναικός ἐστιν, οὐκ ἀνδρὸς τόδε.

(Anaxandrid. IX, Meineke, v. III, 199.)

Ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία
οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.

(E. Fr. Archel. VII.)

Ὅστις δὲ θνητὸς ὢν μὴ τῷ βίῳ
ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ' ἄλλ' ἐᾷ,
μάταιός ἐστιν ἔν γ' ἐμοὶ καὶ τοῖς σοφοῖς
κριταῖς ἅπασιν, ἐκ θεῶν τε δυστυχής.

(Amphis. Meineke, v. III, p. 309.)

Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

(Carcinus, Stob. XXIX, 31.)

. . . παχὺς γὰρ ὗς ἔχειτ' ἐπὶ στόμα,
ἐτρύφησεν, ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.
Ἴδιον ἐπιθυμῶν, μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὰς χολλάδας, κεῖσθαι παχὺν,

ὕπτιον, μόλις λαθοῦντα καὶ τὸ πνεῦμ' ἔχοντ' ἄνω,
ἐσθίοντα καὶ λέγοντα· „σήπομ' ὑπὸ τῆς ἡδονῆς."

(Men. Meineke, v. IV, p. 74.)

Πρῶτον μὲν ἡ τρυφὴ εἰσέρχεται εἰς τὰς πόλεις, ἔπειτα δὲ κόρος, εἶτα ὕβρις, μετὰ δὲ ταῦτα ὄλεθρον.

(Pythagor. Stob. XXXXIII, 79.)

Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν.

(Pythagor. Stob. I, 26.)

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα.
ἓν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.

(Inc. Anthol. XI, 51.)

Τί δεῖ γὰρ ὄντα θνητὸν ἱκετεύω, ποιεῖν
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν,
ἐὰν ἔχῃ τις ὁπόθεν.

(Philetaerus, Meineke, v. III, p. 295.)

Τίς γὰρ ἁδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς, ἢ ποία τυραννίς;
τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζηλωτὸς αἰών.

(Simonid. Cei, Schneidewin, Delectus, p. 399.)

. . . τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.

(Pind. Isth. VII. 67.)

— Τὸ λυπρὸν ἀεὶ τοῖσι τερπνοῖς ἕπετο.

(Mosch. 19.)

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

(Anthol. XI, 53.)

Τρυφὴ τὸν βίον ἀνατρέπει.

(Dionys.)

Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην.

(Alex. 44, Meineke, v. III, p. 522.)

Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.

(Stob. V, 14.)

Vide: *Duritas:* Ὦ πονηρὲ. — *Labor:* Ἐκ τῶν, Πολλὰ, Οὐκ ἔστι. — *Malum:* Ὄνειδος. — *Scientia:* Τὰ χρήστ'. — *Virtus:* Αἱ μὲν. — *Vita:* Πᾶσιν.

Appendix ad vocem Deus.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
ἄρρητον, μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα,
καὶ λιμένες, πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος ἐσμέν.

(Aratus, Stob. Ecl. I, III, 3.)

CORRIGENDA.

Pag.	Sententia	Linea	pro	lege
5	1	1	Sch. ad Aves, 39	Clericus 374.
6	9	2	Mein. III	Mein. IV.
7	5	2	θηρίζων	θερίζων.
7	6	2	A. Fr. 306	A. Fr. 327.
7	15	5	Hom. Odyss.	Hom. Ilias.
7	20	1	τἀλλοτρίων	τἀλλότρια.
9	16	2	Hom. Odyss.	Hom. Ilias.
12	7	5	Theog. 215	Theog. 335.
13	12	3	E. Alcest. 345	E. Alcest. 355.
13	15	2	S. Aias, 1349	S. Aias, 1359.
14	11	2	Stob. Flor. XVI, 151	Man. Flor. XVI, 151.
14	14	1	λέξοιμ'	λέγοιμ'.
14	17	2	E. Alcest. 539	E. Alcest. 339.
17	8	3	Theog. 845	Theog. 645.
19	7	4	φωνὰς	φωνὰς πάντας.
19	15	2	E. Fr. Phoenix	E. Phoenissae.
20	6	2	E. Fr.	E. Fr. incert. 74.
20	10	2	ἀνακρίνασθαι	ἀνακίρνασθαι.
22	2	2	S. Antigone, 223	S. Antigone, 523.
22	14	4	Men. Cl. 71	Men. Cl. 76.
23	3	2	E. Fr incert. 12	E. Fr. incert. 112.
24	11	1	ἀπαγόρητον	ἀπαρηγόρητον.
27	5	2	Οὔκ ἐστι	οὐκ ἔστι.
27	6	2	E. Ranae	Ar. Ranae.
27	11	3	E. Agam.	A. Agam.
28	7	2	Prov.	Ar. Plut. 913.
29	6	2	Prom. Vinct. 1084	Prom. Vinct. 1034.
29	7	2	τάσδε	τάσδε σαυτόν.
29	7	2	καθώρμισαν	καθώρμισας.
31	2	1	δὲ ὁ . . . παυργίας	δ' ὁ . . . πανυργίαις.
32	7	2	ὁ δή	ὃ δή.
32	10	3	ἐκτήσατο	ἐπεκτήσατο.
32	11	1	οὐ	γὰρ οὐ.
32	18	2	σύνετον	συνετὸν.
32	18	4	τὸ δὲ	τὸ δ'.
32	18	5	E. Fr. Oedip. X	E. Fr. Oedip. XI.
33	4	3	τ' ἀνδρεῖον ἢ	τἀνδρεῖον ᾗ.
33	9	2	E. Hecub. 721	E. Hecub. 751.
33	14	3	E. Heracl. 254	E. Heracl. 554.
34	1	1	χοί	χοἰ.
35	15	2	E. Electra, 791	E. Electra, 971.
39	9	1	Αἰαὶ . . . ἔασας	Αἰαῖ . . . εἴασας.

Pag.	Sententia	Linea	pro	lege
39	14	2	κακὸς	κακός τε.
41	8	1	παθεῖν	παθὼν,
42	4	3	— —	Men. Mein. IV, 164.
42	9	3	Ino, XXIII	Ino, XXIV.
43	2	2	Apollion, Stob.	Apollonius, St. XXXVI, 29.
44	6	3	E. Agam.	A. Agam.
45	5	4	IV, 50	IV, 249.
45	6	4	IV, 51	IV, 249,
45	7	4	IV, 289	IV, 249.
47	3	2	ἀκούουσιν	ἀνύουσιν.
47	4	2	Sept. Contr. 619	Sept. Contr. 623.
47	10	2	Iphig. A. 33	Iphig. A. 334.
48	3	1	Ὁ δ' ἀνὴρ . . . πρὶν	ὅδ' ἀνὴρ . . . οὐ πρὶν.
51	10	1	καλῶς	κακῶς.
61	10	1	τῶν θεῶν	θεῶν σύ.
61	10	2	ἀποκεῖσθαι	ἀποικεῖσθαι.
61	10	4	Archil. 39	Archel. XXXIX. Ed. Tauchnitz, St. Ecl. I, IV, 47.
65	17	2	E. Fr. Simonid.	Sim. ap. St. Ecl. I, III, 19.
75	5	2	Stob. XXXVII, 12	Mein. IV, 327.
83	2	3	293	263.
84	2	3	Theognis	Theognis 683.
92	6	2	μελάνης	μελαίνης.
92	8	3	Bad.	Bachius.
93	8	1	Philiad.	Eras. Chiliad.
94	2	2	Men.	Men. Mon. Mein. IV, 352.
96	2	2	Prov.	Men. Mein. IV, 245.
97	10	3	ὅττι	ὅτι.
98	5	1	τὸ	τὰ,
100	10	6	Pind. Ol. XIV, 32	Pind. Ol. II, 32.
107	17	2	Comicus	Men. Mon. Mein. IV, 360.
173	7	3	358.	258.
174	14	2	F. Gr.	E. Fr.
181	13	3	Stob. XXVII	Stob. XXXVI.
183	2	4	ἔστι	ἐστί.
183	7	6	Meleagr. II	Mel. Vinct. IX.
192	7	2	Sept. Contr. 427	Sept. Contr. 437.
192	9	2	Hypsip. VI	Hypsip. VII.
240	12	1	ἀπαραίτητος	ἀπαραίτητος θνητοῖς.
240	12	2	St. Ecl. I, IV, 52	St. Ecl. I, IV, 41.
242	2	1	Ὃ χρὴ	Ὃν χρή.
242	2	1	οἶδες	τ' οἶδεν.
242	2	1	sc. τὴν δίκην	sc. ἡ δίκη.
247	5	3	μνήσῃ κακῆσαι	μνησηκακῆσαι.
327	6	5	Lucullus	Lucilius.